Ἡ φύσις αὐτοῖς ἐξ ἀνάγκης ἀρτύει.

Περὶ Ταῶνος.

Πτεροῖς ὁ ταὼς γαυριῶν πολυχρόοις,
Λοξῶς ἀνακλᾷ, καὶ σοβεῖ τὸν αὐχένα·
Καὶ τοὺς θεατὰς ἐκφοβῶν ἀκινδύνως,
Κτυπεῖ μεταξὺ τοῖς πτεροῖς, ὡς ἐνόπλιος,
Ὅτι κρεμαστὸν γωρυτὸν στρέφων τρέχει.
Κἀνάπαλιν αὐτοὺς ἐπιὼν ἐκ τῆς θέας,
Πτέρωσιν αὐτοῦ τὴν κατόπιν ὑπανιστάνει.
Ἣν σφαιροποιῶν, καὶ σαφῶς ἐπικλίνων,
Ἀκμὴν σελήνης φλεγμονῆς ἀποστέγει.
Καὶ πνεῦμα λεπτὸν τοῖς πτεροῖς διαρρέον,
Ἀναψύχει τὸν ὄρνιν ἐξοπισθίου.
Ἀλλ' ὦ σὺ βασιλεῦ, μὴ παρέλθῃς τὴν θέαν.
Λειμὼν γάρ ἐστιν ἡ γραφὴ τῶν ἀνθέων,
Χρυσὸς δὲ λεπτὸς ἐγχυθεὶς τῇ πορφύρᾳ,
Σμάραγδον ἁγνὸν ἐμφυτεύει τῇ κράσει,
Καὶ σύνθετον φῶς, καὶ πτερωτὴν αἰθρίαν,
Ἀκτῖσι φυσικαῖς μειδιῶσαν συνίησι.

Τοῖς

VI. De Ciconiis.

Verum Ciconiæ,perinde ac Ardeæ
Et Pellecani,quos habent cariſſimos
Pullos,opipara nutriunt alimonia.
Sed hi viciſſim beneficos alunt ſuos,
Rurſus relata gratia parentibus.
At deſtituti copia victus noui,
Reuomunt,quod aluus pridie ingeſſit vorans:
Menſamque,re poſcente,natura alteram
Ipſis vomitionum hanc parat de reliquiis.

VII. De Pauone.

Colore pennarum ſuperbiens auis
Iunonis,inflexam rotans ceruicem agit,
Metuque ſpectantes inani territat:
Alis crepans,ceu miles armis horridus,
Aut qui pharetram concutit telis grauem.
Mox rurſus ad ſpectaculum inuitans eos,
Poſtica pandit carbaſa alarum erigens:
Quibus reflexis inſtar orbis callide,
Pennis opacans ſemet,æſtum reprimit:
Atque aura perflans tenuis, & ſpirabilis,
Exæſtuantem retro auim refrigerat.
Sed præter hoc ne, Rex, eas ſpectaculum,
Coloribus quod floridum pratum refert,
Aurumque perfuſum liquore muricis,
Auroque viridis inſitum gemmæ iubar,
Æthræque pennatam ſerenitatem agunt
Radii comantes propriis fulgoribus,

Typoſque

Typosque præ se luminum pennæ ferunt
Micantium, mutantiumque perpetim,
Quibus varietatis sibi asciscit decus,
Quod imaginum seruit prehensionibus.
At si pedes hinc forte rugis horridos
Aspexit ales nobilis, superbiam
Ponit, stupore percitus, & audaciam,
Laudationis gnarus applaudentium,
Opes quibus laudatus ostentat suas.
Sed ante non has prodit annum tertium,
Coloribus nec ante plumarum niter.

VIII. De Pelecanis.

Concham Platea viscerum immersam sinu
Reuomit, carunculamque testis eximens,
Hinc esculenta rite colligit sibi.
Nam claustra postquam fregit aluus percoquens,
Hiscunt plicæ, quas nexuit, conchilium.
Quod idem Ardeæ præbere victum creditur,
Reiecit ore pondus vt testarum iners.

IX. De Cygno.

Leto imminente Cygnus harmonicum melos,
Nectit, supremum carmine excipiens diem,
Mortemque vita rutiorem iudicans.
Erecta sursum namque pennarum seges
Arremperatos callide neruos referr,
Quos Zephyrus impellens velut plectrum ferit.
At ipse colli multiformi barbiro
Concinnat arte cantuum melodias,

Τοῖς δὲ πτεροῖσι καί τινας ἀθρήσεις τύπους,
Εἰς ὀμμάτων μίμησιν ἐκπεπτασμένων.
Οἷς κλέπτεται τὸ χρῶμα τῆς ποικιλίας,
Κινοῦν ἑαυτὸ πρὸς λαβὰς ἰνδαλμάτων.
Συστέλλεται δὲ καὶ καταστᾷ τὸν τῦφον,
Ὁρῶν δυσειδεῖς ἐκ ῥυτίδων τοὺς πόδας,
Ταὼς ὁ θερμὸς ὄρνις, καὶ θρασὺς τέως.
Αἰσθάνεται δὲ τῆς τιμῆς καὶ τῶν κρότων,
Οὓς ἄν τις αὐτῷ πρὸς φυὰς διαπλέκει.
Ἔτους δὲ συντίθησι τὴν ὥραν τρίτου,
Τῇ καταμικρὸν τῶν πτερῶν καταστάσει.

Περὶ πελεκάντων.

Κόγχην δὲ πελεκὰν ἐμβαλὼν τοῖς ἐγκάτοις,
Κἀνάπαλιν αὐτὴν ἐξενεγκὼν, ὀστράκοις
Τὸ σαρκίον βέβρωκε ληφθὲν εὐστόχως.
Τοῦ γὰρ τόνου θλάσασα τὰς κλεῖς ἡ ζέσις,
Ἔλυσεν ἃς ἔσφιγξεν ἡ κόγχη πτύχας.
Ἐρῳδιῷ δέ τε καθ᾽ ἅπαντος ὀστρέου
Τοῦτ᾽ ἔργον ἐστὶ, συντελοῦν εἰς τὸν βίον.

Περὶ κύκνου.

Κύκνος δὲ θανατῶν, ἐμμελεῖς φθόγγους πλέκει,
Καὶ τῆς τελευτῆς δεξιοῦται τὸν χρόνον,
Τοῦ ζῆν τὸ θνήσκειν ἀσφαλέστερον κρίνων.
Ἀνίσταται γὰρ τῶν πτερῶν ἡ πυκνότης,
Νευρῶν τάσιν γ᾽ ἔντεχνον ἐκμιμουμένη.
Καὶ πλῆκτρον εὐθὺς ὁ ζέφυρος ἐπιγίνεται.
Αὐτοῦ δὲ φυσικῷ τοῦ τραχήλου βαρβίτῳ,
Κινεῖ τὸν εἱρμὸν τῶν μελῶν ὁ τεχνικὸς

Πανηγυριστὴς εὑρεθεὶς τῆς ἐξόδου.
Βακχεύεται δὲ ταῖς ἀπίστοις ἐλπίσι,
Ποθῶν ἀτεχνῶς τὴν φθορὰν ἐπιτρέχειν.
Ἄνθρωπε σὺ φιλόψυχε τὸν κύκνον βλέπων,
Πρὸς τὴν τελευτὴν, εἰ φρονεῖς, μὴ συγχυθῇς.

Περὶ Γεράνων.

Τίς ἐστὶ τῶν γεράνων στρατιῶν ὁς ὁπλίσεις
Θεσμοῖσι φυσικοῖς, καὶ πτεροῖς ὀξυδρόμοις,
Ἐπὶ τὰ κατ᾿ Αἴγυπτον ἀπεξαλλ μέρη,
Τὸ τοῦ κρύους φεύγουσαν εὐτέχνως βέλος;
Ὁ κρύπτεται μὲν ὡς φαρέτρα Θρᾳκική,
Αὐμαίνεται δὲ τὴν ὑπόπτερον φύσιν,
Ὑπαιθρίοισι πνεύμασ᾿ ἐστομωμένον.
Τίς ἕρμα ποιεῖ τῇσι γεράνοις τὰς λίθους,
Ἃς ἐγκαθειργνύουσι τοῖς παρειαθμίοις,
Πρὸς τὰς ὑπὲρ γῆς ἐμβολὰς τῶν πνευμάτων;
Δεδοίκασιν γὰρ ἐκ τροπῆς ἀταξίαν,
Ὅταν ὁ ταρσὸς τῶν πτερῶν τοῖς ὀρνέοις
Ἔρημον ἰχνῶν ἐκτέμῃ παραγῶν τρίβον,
Εἰς ὁρμαθὸν τρίστοιχον ὀξυγωνίου.
Τίς αὖθις αὐτῶν ἐκθοθείζεις τὰς λίθους,
Ὅταν ὁ μακρὸς τοῦ πτεροῦ λήξῃ δρόμος,
Ποίησε κριτικοὺς τοῦ χρυσοῦ τοῖς ἐμπόροις;
Ὅταν δὲ καθεύδωσι ῥᾳστώνης χάριν,
Ποίου στρατηγοῦ τακτικοῦ γνοῦσαι νόμους,
Εἴργουσι πᾶν ἔξωθεν εἰς τὸ πλῆον δέος,
Σωτῆρσι πιστοῖς, καὶ σκοποῖς ἀνεσπέροις·
Οὓς τίς πάλιν ἔπεισε παρ᾿ ἄλλοις λίθοις

Ἀσκωλιά-

Queis nænias sui celebrat funeris.
Bacchatur autem spe (quod haud credas
ferè)
Desideratæ mortis, horam sub necis.
Tu cui nimis vitæ est amor cordi, videns
Cygnum, supremum desinas queri diem.

x. De Gruibus.

Quis est grues qui militaris agminis
Ritum docet, Memphitidisque ad vltimas,
Cursus per auras incitati remige,
Abducit oras, frigoris fuga horridi?
Reconditum quod Thracica telum velut
Pharetra, volucrem lædit, erumpens cita
Vi flaminum, queis ingrauescit acrius?
Quis verò easdem deuorati pondere
Lapidis, carinas ceu saburra degra-
uans,
Aduersus incursum Noti firmat fe-
rum?
Cuius repulsæ flatibus, suam timent
Aciem volantum dissipari, quòd viam
Vestigiorum non legat tritam sequens
Agmen, triquetri instar cum acutis an-
gulis.
Quis cursibus longi peractis itineris,
Quos tum lapillos euomunt, hos indices
Auri dedit mercantibus, vires docens?
Ast vbi quietem ceteræ noctu trahunt,
Legem tenentes peruigilis exercitus,
Arcent pericli quidquid imminet foris,
Circum fideli tegmine excubantium.
Quas alteri innixas pedi, quis altero

Iussit lapillum sustinere gnauiter?

XI. De Perdicibus.

Libidinosum est, feminæque amans, genus
Perdicum: in ouis namque formatum necat
Fœtum parens, dum prouolutam hostiliter
Testam refringit ante tempus, & necat,
Soluitque quod natura rite nexuit
Corruptor amens, coniuge vt potirier
Matrum remotis possit inde sordibus.
Amore prolis, clam viro, quæ paruulos
Fœtus, futuræ spem educant propaginis,
Calore plumarum fouentes iugiter,
Præ cæteris quos diligunt impensius.
Quod ni fieret, ac liberocidarum iis
Vis præualeret, perditum hoc iret genus.
Sed masculorum aliqui minus sunt tetrici,
Parientium quos coniugum tangit dolor;
Quarum miserti, pariter ouis incubant,
Gaudentque consuetudine hac cohors salax,
Pullosque pascunt affatim, postquam calor
Hiulca fracto rupit oua tegmine.
Quid, quod metu trepidos, vt est paruo hoc genus
Animo, tumultus forte si quis ingruat,
Ac frigore horrentes breui sub tegmine,
Super explicato contegunt velamine
Alarum, & amplexu fouent amabili?
Quod si dolos auceps struat quis paruulis,
Arte exeunt manum parantis retia

Matrum

Ἀσκωλιάζειν εἰς ἀκάματόν γε στάσιν;

Περὶ Περδίκων.

Λάγνον δὲ τὸ φιλόθηλυ περδίκων γένος·
Τὰ γάρ τ' ἐν ᾠοῖς ὀργανούμενα βρέφη,
Συγκλῶν ὁ τῇ τροφῇ πατὴρ τῶν ὀστράκων,
Κτείνει παρ' ὥραν δυσμενῶς καὶ συγχέει·
Αὐτήν τε φυσικὴν ὁ φθορεὺς λύει σχέσιν,
Ὡς αὐθ' ἐπ' αὐτῆς ἐνθυμῇ τοῦ συζύγου,
Τὰ μητέρων τυρβάσματ' ἐκ μέσου θείς.
Πολλαὶ δὲ εἰσὶ φιλότεκνοι τῶν μητέρων,
Αἳ τοὺς τόκους κλέπτουσι τοῦ γένους χάριν·
Καὶ τῶν πτερῶν θάλπουσι τῇ ζέσει κρύφα,
Καὶ τοὺς ἑαυτῶν ἐντυχοῦσι φιλτάτους.
Εἰ γάρ τ' ἐπεκράτησαν οἱ παιδοκτόνοι,
Τῶν περδίκων ἔρημος ἦν ἂν ἡ κτίσις.
Εἰσὶν τινὲς δὲ καὶ γλυκεῖς φυτοσπόροι,
Οἳ καὶ συνωδίνουσι ταῖς θηλυτέραις,
Ἠδὲ συνεπωάζουσιν ἐξ εὐσπλαγχνίας,
Καὶ συνδιατρίβουσιν ἐξ ἀπλησίας,
Καὶ τοὺς νεοττοὺς ἑστιῶσιν ἀφθόνως,
Ἂν τῶν πνιγηρῶν ἐκραγῶσιν ὀστράκων.
Προσέτι δὲ καὶ πτήσσοντας ὡς μικροψύχους,
Εἴ τις θόρυβος αὐτοῖσιν ἐμπέσῃ ποτὲ,
Ψύχει τε τοὺς κάμνοντας, ὡς βραχυπτέρους,
Ἁπλοῦντες εὐθὺς τὴν κατάπτερον στέγην,
Σφίγγουσι καὶ θάλπουσιν ὡς ἐρασμίους.
Κἂν ὀρνιθευτὴς ἐκταράξῃ τὰ βρέφη,
Τέχνῃ σοφῇ νικῶσιν οἱ φυτοσπόροι,

Τῶν μητέρων τὸ φίλτρον ἐκμιμούμενοι.
Χαλῶσι μὲν γὰρ τὸ πτερὸν παραυτίκα,
Εἰλούμενοι πτεραῖς τε τοὺς τούτου πόδας,
Δοκοῦσι μικροῦ συμπατεῖσθαι ταῖς τρίβοις,
Καὶ τὴν φυγὴν κλέπτουσι τῶν ζητουμένων·
Τοὺς μὲν ἀπατηλοὺς ἐξελίττοντες δρόμους·
Καὶ τοὺς ἀπαγεῖς οὐκ ἐῶσι φιλτάτους
Εἰς χεῖρας ἐχθροῦ συμπεσεῖν, ὡς ἀπτέρους.
Ὁ γάρ τ' ἐφιστὰς εἰς κενὸν τὰς ἐλπίδας,
Ἀφεὶς τὰ μικρὰ, πρὸς τὰ μείζονα τρέχει,
Μόλις γε μὴν φθάνουσι τὴν τυραννίδα,
Μᾶλλον δὲ τὴν ὕποπτον ἐντεῦθεν βλάβην.
Μετὰ δέ γε μικρὸν, ἐν καλῷ στάντες τόπου,
Τὰ σκεδαστὰ συλλέγουσι μακρόθεν βρέφη,
Τῇ τῶν ἐφολκῶν μουσικῇ προσφθεγμάτων.
Καὶ τὴν καλιὰν τὴν καλουμένην ἅλω,
Βασιλεῦ, ὁ πέρδιξ ταῖς γοναῖς διαπλέκει,
Καὶ θαυμαστόν τι χρῆμα, καὶ τέχνης γέμον.
Ξύλοις γὰρ αὐτὴν μαλθακοῖς ὑφαρμόσας,
Ἐκεῖ θάλαμον ἀπέφηνε μικροῦ τὴν στέγην.
Λαβὼν δέ τ' ἐνταῦθ' ἐγκαθίζει τοὺς τόκους·
Οἷς καὶ κόνιν μάλιστα λεπτὴν ἐγχέων,
Τὸ κάλλος οὕτω τὸ φυσικὸν ἀναφαιδρύνει.
Καὶ γῆν παρεσθεὶς πορφυρᾶν πρὸ τοῦ τρύφους,
Ὡς ἡ πελειὰς ἁλμυρίδα τοῖς τόκοις,
Τοὺς κακοσίτους, ἄρ' εὐσίτους εἰργάσατο.
Οὐκ ἀναμένουσι τὰς λοχευτρίας δ' ἔτι
Πρὸς τὴν πτηνὴν ἐκγλυφὴν τὰ νήπια·

Αὐτὰρ

Matrum mares affectionis æmuli.
Nam vela laxant callide alarum pedes
Eiusque iuxta prouoluti, debiles
Gressus pigris præ se ferunt incessibus,
Votumque deludunt iners quærentium,
Fallace cursus subdoli glomeramine.
Nec hostis in manum sinunt carissimam
Prolem inuolucrem incidere, nec firmam satis.
Nam lautioris ductus auceps spe lucri,
Pullis relictis, grandioribus inhiat.
Ast hi cruentas aucupis postquam manus
Fugêre, discrimenque mortis imminens:
Paulum morari, destitutos a suis
Pullos citant, tutis procul recessibus,
Clamore cantus colligentes illicis.
Quid fabricam nidi loquar mirabilem,
Artisque plenam, Rex, in areæ modum,
Partu imminente feribus quem construunt?
Nam surculis vbi hunc adaptauit parens,
Cubile collocat casæ intra limites,
In quo reponens oua, puluerem super
Tenuem ingerit, pullis lauacrum idoneum,
Quo proprium polit decus purgamine.
Terramque purpuream dapum apponit loco,
Ceu pullulis salsuginem linia suis,
Vt demat illis hac cibi fastidium.
At obstetrices non morantur paruuli,
Ad expetitum quæ ferant opem exitum:

Sed perforant circum quod eſt tegmen
foris,
Iactationis atque motus impetu.
Namque ante tempus geſtiunt procurrere,
Parum eminentes & mouentur amplius,
Ouique fracto protinus munimine,
Mox caccabantium euolat manus leuis,
Ferturque greſſus impigro conamine.
At feminarum nuptiis caſſum genus
Virorum, in iram tranſit implacabilem,
Cientque cognatæ aſperum prœlium acies,
Ineuntque victos improbo ludibrio.
Fama eſt, dies ſeptem vterum iis geſta-
rier,
Fœtumque poſt ſeptem editum dari dies,
Totidemque pullos educari paruulos,
Nidumque conſtruunt:fidem ſi quam aucu-
pum
Sermo meretur,iſta prædicantium:
Atque eſſe obedientiæ hoc capax genus,
Si quis domi educet:inque clauſtris carce-
rum
Geſtire cernitur.Sed haud fiat cicur
Perdice breuior Syroperdix,ac niger,
In viſcera eſu qui lapillos ingerit.
Sed ventre perdix ſi recondat allium,
Huius quidem paſtu leuat ieiunia,
Subinde ſed torquetur æger nauſea.
Quod ſi capeſſat arma mas in æmulum,
Præſente perdix coniuge, acrius mouet
Bellum: vſque ſic auarus ille gloriæ,
Deuictus erubeſcit in certamine.

XII. De

Αὐτὰρ περιῤῥήσσουσι τὴν ἔξω σκέπην,
Εν τοῖσι τῶν σφαδασμάτων ἀποκρούμασι.
Επείγεται γὰρ ἐκδραμεῖν πρὸ τοῦ χρόνου,
Καὶ μικρὸν ἐκκύπτοντα κινεῖται πλέον,
Καὶ θλίβεται μὲν δυσχερῶς τὸ θρέμμιον,
Εξίπταται δὲ, καὶ βαδίζει, καὶ τρέχει
Ισχνῶς τὰ λεπτὰ κακκαβάζοντα βρέφη.
Τῶν θηλέων δὲ μὴ παρόντων εἰς γάμον,
Χωρεῖ πρὸς ὀργὴν ὁ χορὸς τῶν ἀῤῥένων.
Εμφύλιον δὲ συγκροτήσαντες μάχην,
Οὕτως ἐνυβρίζουσι τοῖς νικωμένοις.
Εν ἡμέραις δέ φασιν ἑπτὰ μὲν κύειν,
Καὶ τοὺς νεοττοὺς ἐν τοσαύταις ἐξάγειν·
Πάλιν δέ τ' αὐτοὺς ἐν τοσαύταις ἐκτρέφειν,
Καὶ τὴν καλιὰν ἐν τοσαύταις ἐμπλέκειν,
Οἱ τὰς γενὰς θηραλικοὶ τῶν περδίκων.
Εἶναι δὲ πλῆθος δεκτικὰς χειροτρόφου,
Καὶ ζῆν ἐν εἱρκταῖς, καὶ τρυφᾶν ἀφ' ἑστίας.
Οὐ πείθεται δὲ συροπέρδιξ ἐνθάδε,
Βραχύτερος αὐτὸς ὤν τε, καὶ πάντως μέλας,
Καὶ ζῇ περιττοὺς ἐσιώμενος λίθους.
Τὸ δὲ δριμὺ σκόροδον ἐὰν πέρδιξ φάγοι,
Βιβρώσκεται παρὰ τοῖσι μὲν βορωτέροις,
Νοσεῖν δὲ ποιεῖ ναυτιῶσαν τὴν φύσιν.
Ἀῤῥὴν δὲ πέρδιξ τὴν ὁμόζυγον βλέπων
Ἑστῶσαν ἀγχοῦ τοῦ θεάτρου τῆς μάχης,
Ὅταν γ' ἐναθλῇ, συντονώτερος μένει·
Αἰσχύνεται γὰρ μὴ κρατῶν, ὡς αὐθάδης.

Περὶ

Περὶ ἀλεκτρυόνος.

Ἀλεκτρυὼν μέν τοι γε νικῶν τὴν μάχην,
Σφελγᾷ τι καθαρῶς, καὶ σοβεῖ, καὶ τέρπεται.
Νικώμενος δὲ, μετριάζει σωφρόνως,
Καὶ ζῇ σιωπῶν διαρίθμητον χρόνον.
Νοσεῖ γὰρ εὐθὺς, καὶ θανεῖν θᾶττον θέλοι.
Πάλιν δ' ὅγε θύραν αὐθαδῶς ὑποτρέχων,
Αὐτοκράτορ μέγιστε, τὸν λόφον κλίνει.
Δοκεῖ γὰρ αὐτὸν εἰ προσεγγίσοι μόνον,
Εἰς θραῦσιν ἐλθεῖν, καὶ ῥυλῶσαι τὸν τύφον.

Περὶ Νήττης.

Τίς νῆτταν, ὦ βασιλεῦ, ἰδὼν μὴ θαυμάσῃ;
Ἡ νήχεται μὲν ἐμπεπλωκυῖ' εἰς ὕδωρ,
Πρὶν τοῦγε μαθεῖν ἐν σχολῇ διδασκάλου.
Καταδύεται δὲ, κἀναδύεται πάλιν,
Αὐτῆς τε κεφαλὴν δαψιλῶς διαβρέχει.
Νηττοκτόνος δὲ κίρκος εἰ ταύτην ἴδοι,
Κάτεισιν εὐθὺς ἐκ νεφῶν, ὡς ἁρπάζων.
Ἡ δὲ, σκέπην τὸ ῥεῖθρον εὑρίσκει ξένην,
Καὶ γίνεται μὲν εὐφυὴς βυθοδρόμος,
Τὴν ζωτικὴν εἴργουσα τῆς πνοῆς χύσιν.
Ἐκ δ' ἀλλαχόθι κύψασα τῆς ῥοῆς, πάλιν
Ἐκεῖνον εἶδεν, εἶτα κατέδυ δεύτερον.
Χρόνῳ δὲ τῆς ἐνταῦθα λυθείσης μάχης,
Ὁ μὲν, πάλιν τ' ἀπῆλθεν, ἥ τε νήχεται,
Πλουτοῦσα λουτρὸν εὐκραῶν καθαρσίων.
Ἔστιν δὲ κίρκος ἄλλος, Αὐσονοκράτορ,

XII. De Gallinaceo.

Victor duello voce gallinaceus
Gestuque factum prodit insolentiæ:
Sed victus idem se gerit remissius,
Latensque paululum tenet silentia,
Abolere morte gestiens infamiam.
At cum subit limen, superbe deijcit
Cristam, Imperator. namq; si fastigium
Vel tangat hac, ruiturum opinatur sta-
stim,
Ruptique fumos exituros culminis.

XIII. De Anate.

Anatem quis, o Rex, non stupescat intuens
Nantem prius, quam nare didicit in schola
Docta a magistro? namq; aquas vbi con-
tigit
Demergitur, sursumq; nando commeat,
Largo rigatum flumine referens caput.
Quam conspicatus anaticida, protinus
Altis in hanc e nubibus Circus ruit.
Sed fluminis tegmen tuetur callidam
Profunda permeare, seq; spiritus
Flatu retento aquis penitus immergere.
Mox parte prodiens ab alia, denuo
Aquas subit, si pergat ille hanc persequi.
Sed tempus huic tandem facit pugnę mo-
dum,
Hoste auolante: tunc enim secat iterum
Natando aquam, his beata lotionibus.
Sed accipitrum, o Ausonarcha, inue-
neris

Genus

Genus, quod anatem peruicaciter sequens,
Submersum aquarum deuoratur gurgite.

XIV. De Ansere.

Quod est caloris Anseri vis ignea,
Gaudet lauacris frigidæ perennibus.
Vescensque lactucis, & herbis humidis,
Alui hoc fluorem prouocat medicamine,
Citraque medicos, & diætæ dogmata.
Non ille lauri carpat ore pabulum,
Non si fames premat, sibi necis præscius.
Taurique tranans aliger cacumina,
Ne clangat, ore mordicus lapidem tenet,
Illic latentium metu aquilarum, anseres
Quæ callide obseruant, sub hiemis initium.

XV. De Ibi.

In litore Ibis victum amat conquirete,
Quo venttis implet tortuosa volumina:
Sed exitus arctatur hoc angustia,
Caloris illum præstruente incendio.
Obstructionem autem ipsa soluit callide,
Geritque clysteris vicem oris aduncitas,
Quo ventris infundens cauo salsuginem,
Excretiones humidas ani ciet.
Medicique citra anuumque opem, atque pharmaci,
Intollerabile pondus alui deiicit.
Libycisque vescens ipsa scorpionibus,
Necat anguium turmas graues volucrium,
Quos excipit Pharos ex Arabia aduenas.

Hæc

Ὃς νῆτταν ἰδὼν, καὶ καταπτὰς ὑψόθεν,
Καὶ συγκαταδὺς αὐθαδῶς, ἀποπνίγει.

Περὶ Χηνός.

Ὁ χὴν δὲ θερμὸς, καὶ διάπυρος τῇ φύσει,
Ἢ δὲ φιλόλουτρός ἐστιν ἐν ταῖς νήξεσι.
Πόας δὲ καὶ θρίδακας ὑγρὰς ἐσθίων,
Ποιεῖ διαῤῥεῖν εὐμαρῶς τὴν γαστέρα.
Καὶ πλὴν ἰατρῶν, καὶ διαίτης βιβλίου,
Δάφνης τὸ φύλλον οὐδὲ πτηνῶν ἂν φάγοι·
Φθερεῖ γὰρ αὐτὸν ἡ τροφὴ παραυτίκα.
Λίθον δὲ τῷ στόμαθ' ἵνα μὴ κλάγξῃ στέγων,
Ὅνπερ καλοῦσι Ταῦρον, ἀμείβει πάγον.
Τοὺς αἰετοὺς γὰρ φασὶ τοὺς χηνοσκόπους,
Ἐκεῖσε δεινῶς ἐλλοχᾶν περὶ ψύχεος.

Περὶ Ἴβεως.

Ἶβις δ' ἐν ἀκταῖς τὴν τροφὴν παρεκλέγει.
Καὶ πίμπλαται μὲν ἡ στροφὴ τῶν ἐντέρων,
Ἐμφράττεται δὲ τὸ στενὸν τῆς ἐξόδου.
Καὶ φρύγεται μὲν τῇ παρὰ φύσιν ζέσει,
Λύει δὲ τὴν ἔμφραξιν ἐξ ὀπισθίου,
Κλυστῆρα λοξὸν ὀργανοῦσα τὸ στόμα.
Ἅλμην γὰρ ἐγχέασα βαρδιστὴν εἰς βάθος,
Ἀφῆκεν ὑγρὰς τῆς πυγῆς τὰς ἐκκρίσεις.
Καὶ πλὴν ἰατρῶν, καὶ γραῶν, καὶ φαρμάκων,
Δύσοιστον ἐξέῤῥιψε κοπρίας βάρος.
Καὶ τῶν δὲ Λιβυκῶν ἐμφαγοῦσα σκορπίων,
Ἀνεῖλε γοργῶς τοὺς ὑποπτέρους ὄφεις,
Ἥκοντας εἰς Αἴγυπτον ἐξ Ἀραβίας.

Αὔτη νεοττεύουσα Φοινίκων μέσον,
Ὕποπτον ἐκπέφευγεν αἰλούρου θράσος.
Καὶ τοῦ σελήνης οὐ παρήλλαξε τοὺς δρόμους
Μειουμένης, κράτιστε, καὶ πληρουμένης.

Περὶ Σαλαμάνδρας.

Τὴν Σαλαμάνδραν κἂν ἀὴρ, κἂν γῆ τρέφῃ·
Ἐν ὀστέοις γάρ ἐστιν ἰσχνὸν σαρκίον,
Καὶ δέρμα λιτὸν, καὶ πτερῶν ἔχει σκέπην.
Ἀλλ' οὖν σὺ σιωπῶν, Αὐτόναρχα, θαυμάσῃς·
Τὸ πῦρ γὰρ αὐτὴν οὐ φοβεῖ τὸ παμφάγον,
Ἐφίπταται δὲ, καὶ διώκει τὴν ζέσιν.
Καὶ σβέννυσι μὲν τῆς καμίνου τὴν φλόγα,
Κινεῖ δὲ πυκνὴν τοῖς βαναύσοις ἀσβόλην,
Ψυχρός τις αὐτοῖς ἀνθρακεὺς δεδεγμένη.
Καὶ ζῇ μεταξὺ τοῦ πυρὸς καὶ τοῦ βρόμου,
Καὶ ἀπῶζα καπνοῦ καὶ δριμύτητος πνέει,
Τῆς αἰθάλης πρὸς ὕψος ἠρεθισμένης.

Περὶ Ἀηδόνος.

Ὅταν γ' ἀηδὼν ἀκροώμενον βλέπῃ,
Μελῶν τότ' ἀγαθῶν ἐξερεύγεται κτύπους.
Ἀγχίστροφον γὰρ τὴν βοὴν διαπλέκει,
Καὶ γαργαλισμοὺς ὀργανοῖ κεκλασμένους,
Ἐν τῆς ἐν ἀκμῇ γλυκυθρόου μουσουργίας.
Καὶ μακρὸν ἂν δήπουθεν εὐφραίνει χρόνον,
Εἰ μή τις αὐτὴν ἐκταράττοι συγχέων.
Ὅταν δὲ γῆν ἄβατον ἀνθρώποις ἴδοι,
Τὸν φθόγγον ἁπλοῦν καὶ βραχὺν παραπλέκει.
Μελῶν δὲ ῥυθμοὺς ἐκδιδάσκει τὰ βρέφη,

Τὸν

Hæc palmulas inter domum pullis ſtruit,
Felis malignam vitet vt fiduciam.
Hanc Cynthiæ nouiſſe curſus autumant,
Seu creſcat, ô Rex, ſiue decreſcat face.

XVI. De Salamandra.

Quid Salamandram, aer ne, tellusve educat?
In oſſibus namque eſt caruncula tenuis,
Cum pellis alarumque paruo tegmine.
Sed tu, Imperator, hanc videns miraberis,
Quod non tremiſcat deuorantis omnia
Ignis furorem, quem inuolans atrociter
Elidit, ac fornacis æſtus enecat,
Fabriſque denſam ſuſcitat fuliginem,
Ingreſſa fornacem doloſe feruidam,
Rogumque viuit inter, & flammæ ſonos,
Spiratque fumi diſſipata acredine,
Surſum fauillæ prouoluto vortice.

XVII. De Luſcinia.

Aures Aedon commodantem ſibi videns,
Eructat ore carminum dulces modos.
Verſatilem nam cantuum nectit ſonum,
Fractaſque titillationes fabricat,
Peritia artis ſingulari muſices.
Quin & canentis perfrui dulcedine
Longum datur, ni quis ſonum interruperit.
At ſi relictam viderit terram viris,
Haud allaborat cantuum melodiis.
Quin carminum rythmos docet prolem ſuam,

Curſum

Cursum retundens vocis irritabilem.
Quod si quis illius fruatur carnibus,
Priuat suaui se quietis munere.
Hanc auolare rursus in nemus sinas,
Quicunque captam detines silentio
Ne transigens vitam, necem sibi paret.

xviii. De Hirundine.

Natura quiddam fert hirundinis
noui.
Nam si quis huic iniquior, pullis manu
Orbes cruenta luminum forte eruat,
Vestigat herbam mater haud improuida,
Quam nullius cognouit vnquam industria,
Illaque visum liberis reparat suis,
Quos & croco tinctos, pari medicamine
Albefacit, pennæ priusquam ipsos tegant,
Deformitatem, herbæ auferens purgamine.
Si copia ad nidum luti non suppetat,
Pennas aquarum aspergine imbuit, super
Et puluerem pennas receptum colligens,
Infantulis hinc construit domunculam.
Has ceterarum more non miscerier
Auium ferunt, equitante femina marem.

xix. De Palumbibus.

Castissimum est genus palumbum, nec
tori,
O Imperator, appetens adulteri;
Cuius sacrata labe iura polluens,
Mox innocentium vnguibus discerpitur,
Quæ luce dignam non putant adulteram.

Τὸν πυκνὸν ἐγκόπτουσα τοῦ φθόγγου δρόμον.
Ἀηδόνος δέ που τις εἰ φάγοι κρέας,
Ἄγευστον ὕπνου τὴν φύσιν ἐργάζεται.
Ταύτην κατασχὼν, ἄφες ἀποπτῆναι πάλιν·
Οἰχήσεται γὰρ ἐν σιγῇ παραυτίκα,
Τὸν ἐκ λύπης θάνατον ἁρμοσαμένη.

Περὶ χελιδόνος.

Ἔχει τι καινὸν ἡ χελιδόνος φύσις.
Εἰ γάρ τις αὐτῆς εὐπραγοῦσι τοῖς τέκνοις,
Φθορεὺς ἀκερδὴς ἐξορύξει τὰς κόρας,
Λαβοῦσα σεπτὴν ἡ σοφὴ μήτηρ πόαν,
Πρὸς τὴν ἰατρῶν ἀσθενεῖ τέχνην βλέπειν,
Αὖθις τὸν ἐσμὸν ὀμματοῖ τῶν φιλτάτων.
Ἃ καὶ κρόκῳ βαφέντα, λευκαίνει πάλιν,
Πρὸ τοῦ πτερωτῆς, Αὐσονοκράτορ, σκέπης·
Ἄλλη ποιᾷ σμήχουσα τὴν ἀμορφίαν.
Πηλοῦ δὲ μὴ παρόντος εἰ κτίζειν θέλοι,
Ψεκάδεσσι πυκναῖς τὸ πτερὸν διαβρέχει,
Καὶ χοῦν ἐπ' αὐτοῦ συντεθέντα λαμβάνει,
Καὶ τὴν καλιὰν ὀργανοῖ πρὸ τῶν τόκων.
Ἐναντίαν δέ φασι τῇ τῶν ὀρνέων,
Τὴν μίξιν αὐτῶν εὑρεθῆναι, καὶ ξένην.

Περὶ φαττῶν.

Σῶφρον τὸ φαττῶν, Αὐσονοκράτορ, γένος·
Ἀλλότριον γάρ ἐστιν ὀθνείου λέχους.
Κἄν τις τὸ σεμνὸν τοῦ γένους ἀτιμάσῃ,
Θνήσκει παρευθὺς, ὑπαὶ τῶν ἀνευθύνων·
Αἳ τὴν μόλις κρίνουσι τὴν μοιχαλίδα.

Περὶ τρυγόνων.

Ὀρχέμενοι δ' ἀπάτης χάριν τινὲς ποτὲ
Τὰς τρυγόνας θηρῶσιν ἐκ τῶν ἀσμάτων.
Κηλοῖ γὰρ αὐτὰς ἡδονή τις ἐνθάδε·
Καὶ σωφρόνως φεύγουσι τοὺς νόθους γάμους.
Ὥστε σκοπεῖν δεῖ τὰς παρ' ἡμῖν παρθένους,
Μή τις μελουργὸς πορνικῶν ἐπασμάτων,
Εἰς ἡδονῆς θέατρον αἰσχρᾶς ἑλκύσῃ.

Περὶ γλαυκός.

Αἱμύλιον ἡ γλαῦξ ἡ φιλέσπερος φύσει·
Σκοπεῖν γὰρ εἰκὸς τοῦ πανούργου τὸν δόλον.
Μωκωμένη τὰς ὄρνις ἡμέρας ὅλης,
Καὶ ποικίλῃ στρέφουσα μορφῇ τὴν θέαν,
Σαίνει τὰ μικρὰ τῶν ὑποπτέρων γένη.
Ἃ καὶ παραμένοντ' αὐτὰ μέχρις ἑσπέρας,
Ὅταν τ' ἔχῃ τὴν ὄψιν ἀσφαλεστέραν,
Τῆς νυκτερινῆς πότ' εἰσρυείσης ἰκμάδος,
Θηρᾷ παρελθοῦς, καὶ τρυφᾷ χωρὶς πόνων·
Τὸν μισθὸν ἀπέχουσ' ὧδε τῶν ἀθυρμάτων.

Περὶ κόκκυγος.

Κόκκυξ παρελθὼν εἰς καλιὰς ὀρνέων,
Οἷς ἐστιν αὐτὸς ἐμφερὴς ἐκ τῶν τύπων,
Τίκτει μεταξὺ τὰς γονὰς τῶν ὀστράκων.
Τῶν γὰρ καλιῶν τὰς κενὰς περιτρέχει,
Καὶ τοὺς προτεθέντας τῶν κυλίνδρων συγκλάσας,
Οὓς εὗρεν αὐτοῦ συντεθέντας ὁ παλαιός,
Ὡς ἂν ὁμαλῶς τοῖς δ' αὐτὰ ξῃ τοὺς τόκους,
Καὶ πᾶσαν αὐτῶν ἐξελὼν ὑποψίαν,

Τὰς

xx. De Turturibus.

Sunt qui choreis atque cantionibus
Agant dolose turtures in retia:
Nam tunc voluptas vrit illas credula,
Nothis licet sibi temperent a nuptiis.
Seruare virgines probe nostras decet,
Meretriciorum cantuum mulcedine,
Has ne quis in libidinis casses trahat.

xxi. De Noctua.

Est captiosa vesperipeta noctua.
Pellacis hinc considerare machinas
Operæ est. diem nam fraudulenter quantus est,
Irridet oris auiculas præstigiis.
Quibus stupore percitum simplex genus,
Ad vesperam vsque perseuerant; cum minus
Vultus atrocem præferens imaginem,
Iam cum rotis nox præcipitat humentibus,
Venatur incautas, & absque laboribus
His fruitur: hoc lusus reportans præmium.

xxii. De Cuculo.

Nidos volucrum cuculus intrans clanculum,
Simillimos quas parete scit fetus suis,
Excludit illis oua non præsentibus.
Nidos inanes callidus sed præterit,
Frangitque, si quæ reperit oua superflua:
Vt ipse supponens sua his, numero pari,
Fraudemque celet simplicem puerperam
Adulterinæ prolis, omnemque pariter

Suspicionis remoueat caussam malæ.
Quibus peractis illico se proripit.
Natura namque frigida huius alitis,
Excludere ipsam non sinit propaginem.
Exclusionis at peracto tempore,
Suos reportat aduolans hinc liberos.

XXIII. De Cinclis & Pyraustis.

Eadem ferunt & machinari fœtibus
Cinclum, quod est hoc viribus cassum genus.
Sed ignis educat pyraustas procreans;
Edacis vsura nec absque flammæ, iis,
Vt spiritum vitalis auræ duxerint,
Dant longiore fata vita perfrui.

XXIV. De Cicadis.

Mares propaginis cicadarum iubet
Vacare cantibus magas sub pectore.
Nam rore pasti, quem creat nox humida,
Ad vsque rythmum prorogant meridiem.
Sed humidum postquam calor decoxerit,
Desiccat vnâ carminum bonos duces.
At more sponsæ supprimens os femina,
Monet loquaces feminarum, temperent
Pudoris infandum vt dolorem proloqui.

XXV. De Circis.

Post multinodos quàm plagas venatibus
Thraces tetenderunt, latent absconditi.
Quos aduolantes cominus circi iuuant,
Metuque territant volucres belluas,

Τὰς εἰσαγωγὰς τῆς κλοπῆς μὴ φαυλίσῃ,
Κοῦφος λαθὼν ἔξεισι τῶν ἀλλοτρίων.
Τὸ γὰρ πετεινὸν ὡς κρυμῶδες κρέασιν ὄν,
Νεοττοποιεῖν ἐκπυρῶς οὐκ ἰσχύει.
Ὅταν δὲ τοῦ ἔκλειψιν ὁ χρόνος δράσῃ,
Κόκκυξ ἐπελθὼν συγκομίζει τὰ βρέφη.

Περὶ κίγκλων καὶ πυριγόνων.

Τοιαῦτα φασὶ μηχανᾶσθαι τοῖς τόκοις
Καὶ κίγκλον αὐτόν, ὡς ἀνίσχυρον φύσει.
Τὸ πῦρ δὲ γυνῶν τοὺς πυριγόνους ἐκτρέφει.
Οἳ καὶ μετ' αὐτὸ τοῦτ', ἄναξ, τὸ παμφάγον,
Τὸν ἀέρα πνεύσωσι τὸν ζωηφόρον,
Θνήσκουσιν εὐθύς, ἐκ φθορᾶς ἀντιστρόφου.

Περὶ Τεττίγων.

Τοὺς ἄρρενας δὲ τῆς γονῆς τῶν τεττίγων,
Ποιεῖ φιλῳδοὺς ἡ μαγὰς τῆς ἰξύος.
Οἱ τῆς νυκτερινῆς ἐμφορούμενοι δρόσου,
Τὸν ῥυθμὸν ἐντείνουσιν εἰς μεσημβρίαν,
Ὅταν τὸ θερμὸν τὰς νοτίδας ἀναρπάσῃ,
Καὶ τοὺς ἀγωγοὺς τῶν μελῶν ἐξικμάσῃ.
Θῆλυς δὲ σιγῶν εὐπρεποῦς νύμφης τρόπον,
Καὶ τῶν γυναικῶν σωφρονίζει τὰς λάλους,
Αἰδοῦς νέμων ἄρρητον ὠδίνων μέλος.

Περὶ κίρκων.

Πολυπλόκους τείναντες ἐς θήραν βρόχους
Θρᾶκες μὲν ἠρεμοῦσιν, ὥστε λανθάνειν·
Κίρκοι δὲ συμμαχοῦντες αὐτοῖς ὑψόθεν,
Ἐκδειματοῦσι τὰ πτερωτὰ κνώδαλα.

Τὰ δὲ, πρὸς αὐτοὺς ὑποφεύγει τοὺς βρόχους.
Ἐν ταῖσι περιβολαῖσι δὲ συνωθουμένους,
Αἱροῦσι γοργῶς τοὺς φυγάδας ἅμ' ἀθρόους.
Καὶ μισθὸν εἰσφέρουσι τοῖς ὑπερμάχοις,
Ἐκ τῶν δι' αὐτοὺς δυσχερῶς εἰλημμένων.
Εἰ δ' οὔ, τότ' ἀγαθῶν ἐστερήθησαν φίλων,
Εἰς δευτέρους ἥκοντες οἱ Θρᾶκες βρόχους.

Περὶ κιναμώμου.

Ὄρνις δ' ὁ κιννάμωμος ὠνομασμένος,
Τὸ κιννάμωμον εὗρεν ἀγνοούμενον,
Ὑφ' οὗ καλιὰν ὀργανοῖ τοῖς φιλτάτοις,
Μᾶλλον δὲ τοῖσι μέλασιν Ἰνδοῖς, αὐξάναξ,
Ἀρωμάτων τὴν ἡδονὴν διαπλέκει.

Περὶ μελισσῶν.

Ἐγὼ δὲ ἡμῶν τῶν μελισσῶν τοὺς νόμους,
Φιλῶ μὲν αὐτῶν, αὐσταρχα, τὴν φύσιν,
Μισῶ δὲ τοὺς κηφῆνας ὡς νωθεῖς φάγους.
Μέλισσα μὲν γὰρ ἡ φιλεργὸς τεχνῖτις,
Ἔλυσε τὰς πτέρυγας εὐθὺς ἡμέρας,
Εἰς τὴν ποθεινὴν συλλογὴν τῶν ἀνθέων,
Κηφὴν λαθὼν δ' αὖ εἰς τὸ σίμβλον ἐκρύβη·
Τέως γε μὴν ἔμεινεν αὐτοῦ που τρέμων,
Ὁ κλὼψ ὁ δειλὸς, ὁ θρασὺς θηλυδρίας·
Ἐπεὶ δὲ νὺξ ἦν, καὶ βαθὺς ἤδη γνόφος,
Τὴν μὲν φιλεργὸν ὕπνος εἷλε νήδυμος,
Αὐτὸς δὲ τὰς σπαργίας ἐνδὺς ἀτρέμας,
Ἥδιστον ἐτρύγησεν ἐκ τούτων μέλι.
Ἡ σύντονος δ' οὖν, καὶ σοφὴ, καὶ τεχνικὴ,

Τὸν

Laxata condant ſubter vt ſe retia.
Quas Thraces arctis implicatas caſſibus,
Cohorte denſa, comprehendunt acriter,
Circiſque mercedem rependunt debitam,
His portionem largientes alitum.
Quod ni fit, ope poſt deſtitutos videris,
Ponunt volantum cum laqueos ruſus gregi.

xxvi. De Cinamomo.

Cognominata Cinnamomus, cinnamum
Inuenit vt fertur volucris Indica;
Quæ tecta pullis hinc ſtruit cariſſimis,
Indoſque ſole nigricantes torrido,
Sui beat fragrante nidi ſurculo.

xxvii. De Apibus.

At ſedularum ego colens leges apum,
Ipſas amo, o Rex Auſonum imperio potens:
Odique fucos, deditum ventri pecus.
Namque operum amans apis, magiſtra ſedula,
Librat per auras corpus ipſo cum die,
Ad colligendos per vireta floſculos.
Cum fucus interim aluearium ſubit,
Illicque melle ſe maner conferciens,
Fur iſte meticuloſus, audax, improbus.
Sed ingruente veſperi caligine,
Apim profunda cum domi occupat quies,
Furtim populator inuolans cunabula,
Exhaurit his quod mellis eſt reconditum.
At ipſa rerum prouida ſuarum, & cata,

Fraudem latentem ſuſpicatur illico,
Dulciſque prædatore capto nectaris,
Furi comeſtum mel amarum fel facit.
Dorſum perertans ſpiculique verbere,
Arcet latronem cellulis exterminans.
Qui ſi reuerſus denuo inuadat fauos,
Luit ſupremas morte pœnas helluo.
In tela namque apum lupum incidere alitem,
Oportuit: vel quod magis conuenerit,
Infaetum operis, operis peremtum amantium
Aculeis, cum ſanguine animam effundere.

XXVIII. De Apibus inertibus.

Eſt vero & aliud his genus conuictitans,
Quod floribus quidem inuolat fragrantibus;
Sed mella neſcit fingere id prædulcia.
Quod gratuita diligentiæ fide,
Opem miniſtrat ceterarum induſtriæ.
Namque alia potum fert domi curantibus,
Inflans canalem fiſtularum glandulis;
Ad alta rex vt aſſidens prætoria,
Pleno beatus ore pocula hauriat.
Sed alia claſſicum canit, præque agmina
Agit, cateruarumque ducit ordines:
Sed quolibet alia Hippocrate peritior,
Cadauera efferr mortuarum ex alueis,
Ne contrahant contage peſtilentiam.
Alia excubantis fungitur laboribus,
Quam cura penes eſt creditæ cuſtodiæ,

Ne, dum

Τὸν κρυπτὸν ἀπέπτυσεν αὐτίκα δὴ δόλον.
Καὶ συλλαβοῦσαι τῆς τρύγης τὴν ἐργάτιν,
Ἔμπικρον ἀπέφηνε τὸ βρωθὲν μέλι.
Τοῖς γὰρ πτίλοις παίσασαι τῶν μεταφρένων
Ἐξεῖλεν αὐτὸν τῆς κλοπῆς τετυμμένον.
Μετ' αὖ δὲ μικρὸν εἰσρυεὶς αὖθις χρόνον,
Τὴν ἐσχάτην ἔδωκεν ὁ φθορεὺς δίκην.
Ἐχθρεῖ γὰρ αὐτὸν ὡς ὑπόπτερον λύκον,
Τοῖς τε μελισσῶν ἐμπεσεῖν ἀκοντίοις·
Ἢ μᾶλλον ἐχθρεῖ μὴ πονεῖν εἰθισμένον,
Τοῖς τῶν φιλεργῶν ἐκτριβεῖσαι κεντρίοις.

Περὶ ἔργων μελισσῶν.

Ἀργὸν δὲ ταύταις ἄλλο συμβιοῖ γένος,
Ἐφίπταται μὲν τῇ χλιδῇ τῶν ἀνθέων,
Ἀδύνατόν ἐστι δὲ καὶ γλυκὺ πλάττειν μέλι.
Συναίρεται δ' οὖν ἐξ ἀμίσθου φροντίδος,
Τῇ τῶν φιλεργῶν πανταχῇ παρεισδρομῇ.
Ἡ μὲν γὰρ αὐτῶν ὑδραγωγὸς εὑρέθη,
Τὸν αὐλὸν ἐντείνασα τοῖς παραθμίοις,
Ὡς ἂν ἐπ' αὐτῆς εὐπραγῶν τῆς παστάδος,
Ὁ τοῦ γένους ἔξαρχος ἀφθόνως πίνοι.
Ἡ δὲ, προβομβεῖ, καὶ προπέμπει τὰ ξίφη,
Καὶ δημαγωγεῖ τακτικῶς ἐν τοῖς πόροις.
Ἡ δὲ, πρὸ παντὸς εὐμαθὴς Ἱπποκράτους,
Νεκρῶν μελισσῶν ἐκκομίζει φορτία,
Μήπως ἔχῃ τὰ σίμβλα τῇ σήψει φθόην.
Ἄλλη δέ τις ἐπ' ἄγρυπνον εἰσφέρει πόνον,
Τῇ κεῖθι φυλακῆς ἀκριβεῖ παρεδρίᾳ·

Μὴ

Μὴ τὰς φιλέργους ἡσυχάζουσας τέως,
Λαθών τις ἐχθρὸς, εἰς φθαρὴν πρὸς ἐπαίρειν,
Καὶ τὸν τοσοῦτον ὄλβον αὐτῶν ἐκπάσῃ.
Ἀλλὰ, βασιλεῦ, τίς τῆς μελίσσης τὴν φύσιν,
Προγνωστικὴν ἔδειξεν εἰς ὄμβρων χύσιν;
Νάρκαν γὰρ αὖ εἴποι τις, εἰ παρὼν βλέπει,
Τὴν πρὶν φιλεργὸν τὸ κρυμὸν σκοπουμένην.
Ὡς καὶ γεωργεῖς, καὶ νομεῦσιν ἀγρόταις,
Χειμῶνα δεινὸν ζωγραφεῖν εἰς αἰθρίαν,
Ἐκ τῶν ἀτεχνῶς μαντικῶν πεπρασμάτων.
Καὶ γὰρ παρ' αὐτὸν ἐγχρονίζει τὸν πόνον,
Καὶ μικρὸν ἐκκύψασα τοῦ σίμβλου χρόνον,
Ὅταν γ' ὁ καιρὸς τῆς νομῆς ἀναγκάσῃ,
Πάλιν θυραυλεῖ συντεμοῦσα τὸν δρόμον.
Ἐξίπταται δὲ ταῖς πνοαῖς ἀντιστρόφως,
Ὑπερφέρουσα πινά τε τοῖς ποσὶν λίθον,
Ὡς ἕρμα ληφθὲν ἐμβριθῶς πρὸς τὸν πόρον·
Ὡς μὴ παρασυρῇ ταῖς ῥοαῖς ἡ λεπτότης.
Ἥκιστα μὲν γὰρ ἂν διαπλοήσοι καὶ σκάφος,
Ἀγώγιμον οὐ μηδὲν ἡ πλάστιγξ φέρει.
Καὶ ζῇ μὲν ἁγνὸν ἡ σοφὴ σχεδὸν βίον,
Ἄγευστος οὖσα νεκρικῶν πραγμάτων.
Ζώου δὲ παντὸς οὐχ ὑποπλήσσεται θράσος·
Ὁπλίζεται γὰρ ἀσφαλῶς τῷ κεντρίῳ,
Ἅμα τῇ τε φυσικῇ ψυχικῇ τ' εὐτολμίᾳ.
Καί γε φιλόμουσός ἐστιν, ὡς ὄρνις τάχα.
Ἀπεξιοῦσα γὰρ εἰς φυγὴν τὴν ἐργάτιν,
Ποιεῖ συριγμὸν, ἐμμελὴς θ' ὑποστρέφει.

Θρύψις

Ne, dum parenres mellis occupat ſopor,
Nocturnus irrepens latro cunabula,
Iniiciat opibus dormientium manus.
Sed quis Deus, quis imbrium progno-
ſticam
Naturam, api largirus eſt impertiens?
Præſenſione frigoris nam languidam
Torpore cernas corripi eueſtigio:
Vt agricolis paſtoribuſque, in aeris
Serenitatem pingat hyemem turbidam,
Prædictionibus artis haud ſagacibus.
Namque imminente hyeme laborem pro-
trahit,
Tentanſque procurſus breues præſe-
pibus,
Cum pabulorum flagitat neceſſitas,
Contracto itinere mox domum reuertitur.
Aduerſus autem ſe Notos per nubila
Librat, lapillum rite ſuſtinens pede;
Contra ruentes impetus quo flaminum
Se firmat ipſa, degrauata pondere.
Nam cymba recto non fererur tramite,
Quam non ſaburræ fulcit æquilibrium.
Viuitque vitam ſobria experrem fete
Comeſtionis horridæ cadauerum.
Haud vllius paueſcit imperum ferę,
Armata ſpiclo, cumque ſpiclo prædita
Animique naturæque fortitudine.
Et muſicæ eſt amans, aues vt ceteræ.
Namque euolans ſaltus in herbidos,
ſonum
Ciet canora, cumque cantibus redit,

Non

Non luxus illi, non voluptas blandiens
Cordi est, labore victitanti parcirer.
Inauris autem gemmeumque verticis
Decus, puellarisque mundus syrmatis
Est ala, respersumque corpus puluere;
Quo nempe frugalis operas industriæ,
Moresque reddit feminarum nobiles,
Quas cura luxus otiique pertinax,
O Rex, laboris haud amantes arguit.
Nam luminum ipsas ala deuias agit,
Ad colligendum masculorum flosculos.
Sed & sonos illæ cient amabiles,
Vocis procaci melleæ mulcedine:
Cum, sicut herbis, assident amantibus,
Qui criminis mel amarulentum sullegunt,
Dolos parantes nuptiis nefarios.
Hinc conscientiæ aculei pungunt eos,
Quos arguit fucos rapina prodita.
Est vero iis Rex mitis, & sine aculeo,
Decorus, altus, strenuus, firmus, ruber,
Exercitus natura quem creat ducem.
Qui si relinquat agmen iratus, sagax
Indagat ipsum persequet tiam cohors.
Inuentus autem examen ad reuertitur,
Sedatque præsens principis carentia
Damnosa quam commouit iis discordiam.
Quæ construunt fauos, & alueo ingerunt
Mel dulce, Sirenumque cum his duplex genus,

Palatium,

Θρύψις μὲν οὖν, καὶ μῦρα, καὶ χλιδῶν βίος,
Οὐδὲν παρ' αὐτῇ· σωφρονεῖ γὰρ ἐκ πόνων.
Ἐνώπιον δὲ, τὸ λιθόστρωτον στέφος,
Ἐν ἱματισμῷ νυμφικῆς εὐκοσμίας,
Πτερόν τι καὶ χρυσῶς, εἰ κονίσαλον φέρει.
Οὕτως ἡ τὸ βίου οὖν εὐτελῶς ἐν τοῖς πόνοις,
Καὶ τὸν γυναικῶν εὐθύνει τὸν τρόπον.
Ἃς τὸ πρὸς ἁβρότητα καὶ θρύψιν βλέπειν,
Ἄλλως φιλέργους, αὐστηρὰ δεικνύει.
Κινεῖ γὰρ αὐτὰς τὸ πτερὸν τῶν ὀμμάτων,
Εἰς τὴν πονηρὰν ἐκλογὴν τῶν ἀρρένων.
Ἐρωτικοὶ δέ τιν' αἵδε βομβοῦσι κρότον,
Ἐκ τῶν μελιχρῶν τῆς βοῆς πελασμάτων,
Ὅτε προσιζάνουσιν αὐτοῖς ὡς παῖς,
Οἱ καὶ τὸ πικρὸν τῆς ἁμαρτίας μέλι,
Τρυγῶσιν αἰσχρῶς ἐλλοχῶντες τοὺς γάμους.
Πλήττουσι δ' οὖν τὰ κέντρα τοῦ συνειδότος
Κηφῆνας αὐτοὺς, τῇ κλοπῇ δεδειγμένους.
Πρᾷος δέ τις ἄκεντρος, εὔζωνος, μέγας,
Ἐρυθροβαφὴς, καὶ εὐσταθὴς, καὶ γυνάδας,
Θεσμοῖσι φυσικοῖς τὸν στρατὸν διεξάγει.
Κἄν ποτ' ἀγανακτῶν πρὸς τὸν ὄχλον ἐκφύγοι,
Ῥινηλατεῖ τὸ σμῆνος αὐτοῦ τὸν δρόμον·
Καὶ δὴ πάλιν σφίσ' εὑρεθεὶς, ὑποστρέφει,
Καὶ τὴν πρὸ μικροῦ βλαπτικὴν ἀναρχίαν,
Λύει παρελθὼν ἐξερίζων τὴν στάσιν.
Αἱ πλάστιδες δ' οὖν, καὶ τὸ σφηκώων γένος,
Αἳ τὸ γλυκὺ κλέπτουσι τοῖς σίμβλοις μέλι,

Τὴν

Τὴν τοῦ βασιλέως ἐξυφαίνουσι στέγην,
Σκοπιᾶς ὕπερθεν ὀργανοῦσαι τὰς βάσεις.
Καὶ περιβόλοις γέ τισιν ἠδὲ περιαυλίοις,
Κοσμοῦσιν αὐτὴν ἀσφαλῶς ἡδρασμένην.
Ἐν οἷς ἑαυτοῖς ἐκδιώκει τοὺς πόνους,
Ἡ πᾶσα πρεσβυτικὴ τοῦ σμήνεος φάλαγξ.
Πάλιν δέ τ' αὐτὴν ἄλλο κυκλοῖ θριγγίον,
Ὃ τοὺς ἐν ἀκμῇ, καὶ περὶ τῆς ἥβης ἔχει,
Φρουροὺς ἀτεχνῶς τῶν γεραιῶν δορυφόρων.
Κλίνει δὲ καὶ τὸ κέντρον αἰδοῖ τοῦ κράτους,
Ὅταν μέλισσα τὴν βασιλέα αὐτῆς ἴδῃ.
Ὃς ἐν μὲν ἀκμῇ τῶν μελῶν καὶ τῶν πτίλων,
Ὅταν πεζωθῇ, τὰς φυλὰς συνεξάγει·
Καὶ γὰρ ὁμαρτεῖ πανταχοῦ τῷ δεσπότῃ
Παρεμβολή, τηροῦσα τακτικοὺς νόμους·
Ἂν δὲ τρυχωθῇ τῇ παρακμῇ τοῦ χρόνου,
Καὶ τοῦ πτεροῦ τριβέντος ὀκνῇ τὸν δρόμον,
Τὸ σμῆνος εὐθὺς δίφρον ὀξὺν δεικνύει,
Δι' οὗ τε φορράδην ὡς γέρων κομίζεται·
Ὅταν δὲ παρὰ βασιλέως τις σαλπίσῃ,
Ὥσπερ ἀπὸ συνθήματος καθυπνοῖ τὰ στίφη.
Κανόνος δὲ παντὸς καὶ τινος τέχνης δίχα,
Μέλιττα ποιεῖ γραμμικὰς διαπλάσεις.
Ταῖς γὰρ κάτω σύριγξιν ἐστηριγμέναις,
Ἀνωτέρας πήγνυσιν ἀντισυνθέτους.
Καὶ δημιουργεῖ τὰς ὀπὰς τὰς ἐν μέσῳ.
Σχημάτεσιν, ἢ καὶ λήμμασιν ἰσογωνίοις.
Φραγμοὺς δὲ λεπτοὺς ἐμβιβάζει τοῖς πόροις,

Ὡς

Palatium pro rege constituunt, super
Speculæ struentes ambitum, & munimine
Id ianuarum condecorantes probe,
Aulamque quod sit ante, propugnaculo.
Examinis phalanx quibus grandæuior
Omnis, vacantum obit operas laboribus.
Sed illud, aliud ædium fastigium
Ambit, vigentes excipit quod robore,
Atque vniuersam impuberum frequentiam,
Et grandiorum apparitores præsidum.
Inclinat autem spiculum viso duce
Apis, potestatem colens reuerentia.
Qui viribusque alisque pollens, agmina
Educit, insequente turma comiuus
Satellitum plebisque, ceu lex postulat.
At si senectæ prægrauatus pondere,
Alisque tritis, ad volandum torpeat:
Sublatus in bigas leuatur illico,
Queis mollirer gestetur æuo grandior.
Quod si quis ad prætorium ruba canat,
Dormitur in castris data ceu tessera.
Quid ædificii, quam parant sine regula
Et arte, machinam loquar mirabilem?
Quas namque suffulciuit infra cellulas,
His firmat aduersas superne glutinans,
Paratque tignorum media cubilia,
Opere angulari structa senis angulis.
Interque sepimenta ponit cellulas,

Vt cera

Vt cera subsidat, quæ iis infunditur,
Intusque stipet mel fluens concretio.

XXIX. Quæ apibus sint inimica & quæ aliis nocentia sint animantibus.

Serpensque, cum vespaque hirundo, rubetaque,
Formicaque, rinea, parus, & phalangium,
Viridisque stellio, & apiaster prodigus,
Infesti apum sunt per vias examini.
At densus imber, pestilensque spiritus,
Acrisque fumus, nubiumque opacitas,
Fugant easdem, perque turbant ordines.

Malo comesto punico, circus, larus,
Tutturque, cum merula, statim leto cadunt.
Moriturque scarabeus propinquans vnguini,
Sturnusque vitam exhalat allii cibo.
Vitexque mortem comparat ficedulæ.
Sed acre cassitam sinapi interficit.
Foliumque cedri nescius si deuoret,
Non amplius solem calamodytes videt.
Iacetque vitæ destitura spiritu,
Bibens hyænæ si fel Ibis hauserit.
At caprearum vpupas adeps dedit neci;
Annisque priuat præpetem Iouis suis,
Infaustum ab ipsa deuoratum symphyton.
Nec coruus erucam absque noxa pascitur;
Et truncat ætatis moram cornicibus
Cadauer ingestum, ore contactum lupi.
Vulso charadrius cadit bitumine,

Et vitis

Ὡς αὖθ᾽ ὁ κηρὸς ἐγχεθεὶς ὑφιζάνῃ,
Συνέχῃ δὲ καὶ τὸ ῥεῦσαν ἡ πῆξις μέλι.

Τὰ ταῖς μελίσσαις πολέμια, καὶ ὅσα
ἕτερα ἄλλων ζώων βλαπτικά.

Ὄφις δ᾽, καὶ σφὴξ, καὶ χελιδὼν, καὶ φρῦνος,
Μύρμηξ τε, καὶ σὴς, αἰγιθαλὴς, καὶ φάλαγξ,
Καὶ σαῦρος ὠχρὸς, καὶ φαγεῖν δεινὸς μέροψ,
Σμῆνος μελισσῶν δυσμενεῖς ὁδοστάται.
Νιφὰς δ᾽ πυκνὴ, καὶ πνοὴ πεφυρμένη,
Δριμύς τε καπνὸς, καὶ νεφῶν ἔπι γνόφος,
Σοβοῦσιν αὐτὰς ἐκτροπῇ καὶ συγχύσει.
Κίρκος δ᾽, λάρος, γύψ, τρυγὼν, καὶ κόσσυφος,
Σίδην φαγόντες, εὐθὺς ἂρ ἀπολώλασιν.
Καὶ κάνθαρος δὲ θνήσκει ἐγγίζας μύρῳ·
Καὶ ψὰρ φαγών γε σκόροδον, οὐκέτι πνέει.
Καὶ τὸν μελαγκόρυφον ὄγ᾽ ἄγνος ἐκτρίβει.
Κορυδαλὸν δ᾽ τὸ δριμὺ φθείρει νάπυ.
Κέδρου δ᾽ φύλλον εἰ λαθὼν δή που φάγοι
Ὁ καλαμοδύτης, οὐ βλέπει τὸν ἥλιον.
Κεῖται δὲ νεκρὰ καὶ πνοῆς ἀλλοτρία,
Εἰ τῆς ὑαίνης τὴν χολὴν ἴβις πίοι.
Φθίσις δ᾽ τοῖς ἔποψι δορκάδων στέαρ.
Τὸν αἰετὸν δ᾽ τῶν ἐτῶν ὑπερξάγει,
Βρωθὲν παρ᾽ αὐτοῦ δυστυχῶς τὸ σύμφυτον.
Κόραξ δὲ τὸν εὔζωμον οὐ στέργει πόαν·
Καὶ τῶν κορωνῶν τὸν πολὺν τέμνει χρόνον,
Πτῶμα περιληφθὲν εἰς βορὸν λύκου στόμα.
Πίπλει χαραδριὸς δ᾽ πίνου τι στάζας.

Κτείνει λιβὰς δὲ τάς γε γεράνους ἀμπέλου.
Ἀεὶ μὲν οὖν μύραινα πολύποδας στυγεῖ·
Μεμήνασιν δ' ἐπὶ καράβῳ καὶ πολύποδες.
Ὁ δὲ κάραβός γε ταῖς μυραίναις ἄχθεται.
Καὶ ταῖς χελώναις ἀντίκειται πέρδικες,
Καὶ τοῖς ἐχίνοισιν δὲ ποταμογείτονες.
Ἔχθος γε μὴν ἔχουσιν αἰθυίαις μέγα
Μακροὶ πελαργοὶ, καὶ βραδύπτεροι κρέκες.
Ἐρωδιὸς δὲ μισεῖ τοὺς λευκοὺς λάρους·
Κορυδαλὶς πᾶσαν γε μὲν ἀκανθυλίδα·
Πελεκὰν δὲ τ' ὄρτυγα· οἱ δὲ ταῶνες τοὺς κιώας·
Τρυγὼν δὲ πύῤῥαν. τῆς δὲ κερδοῦς ἡ φύσις,
Ἐχῖνον ἐχθρὸν οἶδεν, ὃν χέρσος τρέφει.
Πάλιν κορῶναι δυσμενεῖς γλαυκῶν φύει.
Κόραξ δὲ μισεῖ τῶν ἰκτίνων τὴν γονὴν,
Πάγρον τε βελινθὸς, καὶ τρυγὼν πυραλλίδα,
Τὴν τρυγόνα χλωρεὺς δὲ, καὶ τοῦτον κόραξ·
Δράκων δὲ κύκνον. αἰετὸν δὲ τὸν μέγαν
Αἰγυπιὸς αὖ δέδοικε· τὸν δὲ, τρωγλίτης.
Κτείνει δὲ βουβαλίδα τε καὶ ταῦρον λέων,
Ὡς Ἰνδὸν ἐλέφαντα πυρίπνους πέφνει δράκων.
Ὠτὶς κυνὸς δέ θ' ἁρπαγὴν φυλάσσεται.
Καὶ τοὺς ὄνους αἴγιθος ἐχθροὺς αὖ κεῖνοι.
Οἱ μὲν γὰρ ὠγκήσαντο, τοῦ δὲ τοὺς τόκους,
Ὅσους ἐν ὠοῖς εὗρεν ἐσπειραμένους,
Ἀφῆκε νεκροὺς ἐκπεσόντας ὁ κτύπος.
Ὄφεις δὲ τεφρίμασι κέντρα σκορπίων.
Ἰχνεύμονες δὲ δαμαπόδσιν ἀσπίδας,

Ἀλέκτο-

Et vitis hausta conficit lacryma gruem.
Infesta polypo semper est murænula,
Odio locustas polypus impetit fero,
Locusta strangulatur a murænula.
Perdicis aduersum est genus testudini.
Necant echinos potamogirones cibo;
Longæque cum mergis ciconiæ,& creces
Tardæ volatibus,simultates gerunt.
Odit colore gauias albo ardea.
Exosam habet cassita stirpem acanthidum,
Pelecan coturnicem, canes turba leporum,
Pyrrhamque turtur: nec latet vulpem suus
Echinus hostis, terra quem vasta educat.
Inuisa cornix est pudica noctuæ,
Oditque coruus miluiorum liberos,
Pagrumque brinthus, turtur atque ignariam,
Luteoque turturem, sed hunc coruus, draco
Cygnum. Deûmque regis armigerum trucem
Vultur timet, timetque passet vulturem.
Occidit autem bubalum & taurum leo,
Spiransque flammas Indicum elephantum draco,
Canisque raptum tarda auis subterfugit,
Hostesque ducit ægithus asinos suos:
Quos si rudentes audiant pulli, illico
Deturbat exanimes metu nidis sonus,
Intus putamen quotquot abditos tegit.
Sed scorpiorum spicula angues territant,
Ichneumonesque terrefaciunt aspidas.

Galli leonibus, leo formidini
Est ictidi, mus pardalique araneus.
Vulpecula inimicum sibi Circum putat,
Cornumque taurus, atque equum piscem anthias.
Delphin Balænam odit, lupusque mugilem,
Murænacongrum, hyena pantheram timet,
Et stellionem perditor fut scorpius,
Torpedo scorpium, polypodem cammarus.
Horrescit ignem percitus metu leo.
Balans inermis a lupis prehenditur,
Ab vpupa apes, a filia Pandionis
Cantus amans cicada, damis anguium
Immite vulgus, pardalique simia,
Quem conspicis mimum. Sed anguis Ibium
Pennas pauescit intuens, contactibus
Harumque torpet ocius: reconditus
Aluo, forantis perforat qui viscera.
At torre viso funerali, protinus
Ferociens latrare desinit canis.
Et fascinantum se tuentur a dolis
Laurum palumbes congerentes, intybum
Circus, comam perdix harundinaceam,
Myrtumque turdus colligens, cancrum ardea,
Gramen vpupa, galerita frondes querneas,
Vluamque miluus, rhamnulum cornix, crocum
Circus virentem, viticem ales Apollinis,
Inmque turtur. fascinum radiculâ
Lini sub alis pauo gestata cauet:
Sertis Iacchi harpa platano ciconia.

Quam-

Ἀλέκτορες δὲ τῶν λεόντων τὴν φύσιν,
Τούτους γαλῆ δὲ, μυγαλῆ δὲ πάρδαλις.
Πάλιν ἀλώπηξ δυσμενῆ κίρκον κρίνει,
Καὶ κόρχηκα ταῶνος, ἵππον ἰχθὺς αἰθίας,
Δελφὶς φάλαιναν, καὶ λάβραξ τὸν κεστρέα·
Μύραινα γόγγρον, ἡ δ' ὕαινα πάρδαλιν,
Καὶ ἀσκαλαβώτην ὁ φθορεὺς κλὼψ σκορπίος,
Νάρκη δὲ τοῦτον, ἀστακὸς δὲ πολύποδα.
Λέων δὲ πῦρ δέδοικεν ἐκτρόπως τρέμων.
Ἁλίσκεται δ' οὐ δυσχερῶς οἷς λύκοις,
Ἔποψιν ἡ μέλιττα, καὶ χελιδόσι
Τέττιξ φιλῳδὸς, παῖς δὲ δορκάσιν ὄφις,
Καὶ παρδάλει πίθηκος, ὃν μιμεῖν βλέπεις.
Τῆς ἴβεως δὲ τὸ πτερὸν μόνον βλέπων,
Ἅπας ὄφις δέδοικεν· ὅπερ αὖ θίγοι,
Ναρκῶν γ' ὄφις ἐκεῖνος· αὖ δὲ καὶ φάγοι,
Τέθνηκε, ῥαγεὶς ὁ φθορεὺς τὴν γαστέρα.
Κύων δὲ σιγᾷ, κἂν ὑλακῆσαι θέλοι,
Δαλὸν θεωρῶν ἐκ πυρᾶς φθισιμβρότου.
Ἀνθίσταται δὲ πρὸς τὸ βάσκανον πάθος,
Δάφνην φαγοῦσα φάττα, κίρκος πικρίδα,
Πέρδιξ δὲ καλάμου, κίχλα μυρσίνης κόμην,
Ἐρῳδιὸς καρκῖνον, ἀγρώστιν ἔποψ,
Φύλλα δρυὸς κόρυδος, ἴκτινος θρύον,
Ῥάμνον κορώνη, κίρκος αὖθις αὖ τὸν κρόκον,
Ἄγνον κόραξ ἔγκαρπον, ἡ τρυγὼν ἴριν.
Λίνον δὲ πῶς τοῖς πτεροῖς βύζας φέρει,
Ἅρπη δὲ κιττὸν, καὶ πελαργὸς δὲ πλάτανον.

Ὧι μᾶλλόν ἐστι δυσμενὴς ὁ νυκτάλωψ.
Καὶ γὰρ ἐν ὠοῖς τὴν ἀπορρὰν πεπηγμένην,
Ποιεῖ διαρρεῖν, κἂν πτεροῖς ἄκροις θίγοι.
Ἡ δὲ πλατυνός γε τὴν φιλέαστερον πάλιν,
Εἴργει πρὸ καιροῦ προσπελάζειν τοῖς τόκοις·
Ναρκᾷ γὰρ εὐθὺς ἐμπεσοῦσα τῷ κλάδῳ.
Φθορᾶς δὲ τηρεῖ τὰς γονὰς ὑπερτέρας,
Εἰς τὴν καλιὰν αἰετὸς κρύψας λίθον,
Ὡς ἡ χελιδὼν τῆς σελίνης τὴν κόμην.
Ἐὰν δέ τ' ἐξάψῃ τραχήλου τὸν λίθον,
Κύουσα γυνή, κερδανεῖ ζῶν τὸ βρέφος.
Μυῖαν λαβὼν δέ τ' ἐκ ῥοῆς πεπνιγμένην,
Καὶ τέφραν αὐτῆς ἐκ πυρᾶς ὑπερχέας,
Τὸν νεκρὸν αὐγαῖσιν ὑπόθαλψον ἡλίου·
Καὶ γὰρ ἀναζῇ, καὶ τροφαῖς ἐπιτρέχει.

Περὶ Φρύνης.

Φρύνην δέ τις κράτιστε τὸ ζῶον βλέπων,
Κἂν ἡ φύσις γ' ἔγραψεν αὐτὸν ὡς ῥόδον,
Καθάπερ ἀλγῶν ὠχριᾷ πλὴν ἰκτέρου.
Χαραδριῷ δὲ τῷ γαληνῷ προσβλέπων,
Αὖθις νεουργεῖ τοῦ προσώπου τὴν θέαν.
Παρατρίβεται γὰρ τῆς βαφῆς ἡ πυκνότης,
Ὡς τοῦ νόθου φθίνοντος ἠρέμα κρόκου.
Ὄντοιν δυοῖν δὲ τῇ Φρύνῃ τοῖν ἡπάτοιν,
Τὸ μέν, φθορὰν ἤνεγκε τοῖς γεγευμένοις,
Αὐτοῖς ξένον δὲ φάρμακον τοῦδ' εὑρέθη.

Περὶ λέοντος.

Θηρῶν δὲ βασιλεὺς ὁ θρασὺς ἄναξ λέων,

Ὧι

Quam grauius oppugnare vespertilio
Solet, quod intus oua feminis gerunt,
Nocente pennarum trucidans verbere.
Sed platanus arcet appropinquantis minas,
Torpore collisum retundens impetum.
In nidum aquila aetite congesto, suis
Omnes propulsat noxias a liberis,
Sicut apii comis hirundo salubribus.
Quod si qua collo grauida lapidem illum gerat,
Vitam sibi lucratur, atque fœtui.
Aquis necatam, cinere si consperseris
Muscam, reductam Tartari voragine
Ad pabulum redire facies, ignibus
Hanc solis vbi calefaciendo foueris.

xxx. *De Rubeta.*

Quod si rubetam, Rex, suo quis acrius
Aspectet obtutu, venustatis decus,
Colore mutat pallido plus ictero.
Charadrium sed irretortis vultibus
Mox intuens, ad pristinum redit decus,
Pallore desinente tincturæ. velut
Adulterini deperit croci rubor.
Gemino rubeta cum iecore sit prædita,
Horum comestum mox neci dat alterum,
Affert salutem huic repugnans alterum.

xxxi. *De Leone.*

Regi ferarum, belluarum traditum

Regnum leoni, o Imperator, arguit
Pectusque, genuaque, tibiarumque statio,
Et vultus, & pilus, cataphractariumque
Os, cumque latere firmitas coxendicis,
Spissique nerui, atque vnguium arma, & dignitas
Gressus, simulque saltus, ac cursus celer.
Non vertebrarum iungitur compagibus
Ceruix, tenus crurum osse producta solido;
Simulque tracta, saltuum conamina
Iuuat feris quoties superbus insilit.
Nec fistularum more concauum os gerit.
Deglutit autem deuotans totum hinnulum;
Barathrum macelli, potioni temperans;
Iraque feruet, cum premunt ieiunia.
Quæ carne postquam copiosa depulit,
Mansuetiorem se exhibet præsentibus.
Quod si grauem annis occupat pænuria,
Non amplius feris sequendis strenuus,
Caulas oberrat, & famescens pascua.

XXXII. De Leæna.

Vtero leæna quinquies enititur,
Quinosque primum, quattuor deinde catulos:
Ternisque posthac, inde binis fœtibus
Augetur; at quintum vnico solummodo,
Sextumque natura inchoante leunculum,
Egressui fœtus repagulum obditur.
Duobus a partu creatos mensibus
Ite vide as, catulis canum simillimos

Cæcisque

Ὡς τὴν τε φύσεως μαρτυρεῖ μοναρχίαν,
Καὶ στέρνα, καὶ γόνατα, καὶ σφυρῶν βάσεις,
Καὶ βλέμμα, καὶ θρὶξ, καὶ κατάφρακτον στόμα,
Ῥώμη τε πλευρῶν, καὶ βεβηκὸς ἰσχίον,
Καὶ νεῦρα πυκνὰ, καὶ ποδῶν μέγας ὄνυξ,
Καὶ βῆμα, καὶ σκίρτημα, καὶ δρόμου τάχος.
Αὐχὴν παγεὶς δέ τ᾽ ἐξ ἀνάρθρων ὀστέων,
Πρὸς τὰς ἀγωγὰς τῶν σκελῶν οὐ κάμπτεται.
Συνέλκεται γὰρ τῇ στροφῇ τῶν ἁλμάτων,
Θηρῶν ὅταν κατὰ γαύρων ἐπιτρέχει.
Καὶ κοῖλον ὀστοῦν οὐκ ἔχει τὸ θηρίον.
Ῥοφεῖ δὲ νεβρὸν εὐχερῶς ὅλον βρύχον·
Ἀδδηφάγον γάρ ἐστι, καὶ ἧττον πίνοι·
Καὶ θυμοειδὲς, εἰ λιμός ποτε θλίβοι.
Ἐθὰς δὲ μικροῦ τοῖς παροῦσιν εὑρέθη,
Τροφῆς κορεσθεὶς δαψιλοῦς ὁ γυννάδας.
Ὅταν δὲ γηρᾷ, καὶ τροφῆς χρείαν ἔχοι,
Ἐπεὶ τὸ θαρρεῖν εἰς τὸ θηρᾶν οὐκ ἔχει,
Φοιτᾷ πρὸς ἀγροὺς, καὶ νομεῦσιν ἐναυλίοις.

Περὶ λεαίνης.

Λέαινα δὲ, κράτιστε, πεντάκις κύει.
Καὶ πέντε μὲν τὸ πρῶτον, εἶτα δὶς δύο,
Καὶ τρεῖς ἐφεξῆς, τῷ τετάρτῳ δ᾽ αὖ δύο,
Καὶ σκύμνον ἁπλοῦν εἰς τὸ πέμπτον ἐξάγει.
Εἶτα τίθεται κλεὶς τῆς γονῆς ταῖς ἐξόδοις,
Τῆς γε φύσεως τὸν ἕκτον εἰργούσης τόκον.
Δυοῖν δὲ μηνῶν τὰ βρέφη προέρχεται,
Σκύλαξι τυφλοῖς ἐμφερῆ καὶ μετρίως.

Καὶ

Καὶ λευκὸν ἐμπίπλησι τὰ μαστοῦ γάλα·
Δυοῖν δὲ μηνῶν, καὶ βαδίζει, καὶ τρέχει,
Τότε τὴν ἰσχὺν, ἀρετήν τε φυσικὴν προδεικνύει.

Περὶ νάρκης καὶ ἑτέρων τινῶν, περί τε τῶν λεόντων ἔτι πλείω.

Ναρκᾷ μὲν οὖν ἄνθρωπος ἣν ψυχρός τ' ἀπῇ,
Νάρκην τὸν ἰχθὺν εἴπερ εἰς χεῖρας λάβοι.
Καὶ πήγνυται ναῦς ἐντυχοῦσα ναυκράτῃ·
Καὶ ῥοῦς θαλασσῶν, ἀλκυὼν εἴπερ τέκοι.
Ἵππον παχὺν δὲ τ' ἴχνος ἀμβλυνεῖ λύκου,
Καὶ δίφρον ὀξὺν τὸ σφυρὸν τούτου στρέφει.
Σκίλλης δὲ φύλλοις αὐθυποκλάζει λύκος.
Λέων δὲ χαυνοῖ τοῦ δρόμου τὸ σύντονον,
Ὢ θαῦμα καινὸν, τοῖς πετήλοις τοῦ πρίνου.
Ζώων δὲ πάντων πόρρωθεν ἐκφοβῶν γένος,
Αὐτὸς τὸ πῦρ δέδοικεν ὡς φύσει ζέων.
Κλοπῆς δὲ τηρεῖ τὰς γονὰς ἐλευθέρας,
Ὥστε κατ' ἀγωγὰς εὐτυχεῖν ἀποκρύφους.
Προέρχεται γὰρ ἐξαμείβων τὰς τρίβους,
Ὑπὸ τροχαίοισι καὶ στροφαῖς πεφυρμέναις,
Ἀσαφεῖς τε ποιῶν τῶν ποδῶν τὰς ἐμφάσεις,
Κέρκου σπαραγμοῖς ἐκ τριχῶν ἐσταλμένης,
Ἣν οἶδε κινεῖν οὐ περὶ τῆς μάχης μόνον,
Τὸ θυμοειδὲς τῆς ψυχῆς παροξύνων.
Ἐκ τῶν γε κατὰ βούλησιν ἐγχρῷ μαστίγων,
Τοῦτ' ἐστὶ καινότατον δὲ τ' Αὐσονοκράτορ,
Εἰ καί τις αὐτὸν ὕπνος ἐκ πόνου λάβοι·
Βασιλεὺς ἐὼν γὰρ εὑρεθεὶς θηροκράτωρ,

Καὶ

Cæciſque, paruulíſque, & indagare lac.
Menſeſque currunt poſt duos, & ambulant,
Virtutis edito ſpecimine & roboris.

XXXIII. De Torpedine & aliis quibuſdam, item que de Leonibus plura.

Vt frigus abſit, frigoris torpet gelu,
Torpedinem quicunque contrectauerit.
Siſtit carinæ, remora adhærens, impetum,
Maris furorem nidulans & halcyon.
Stupet lupi veſtigium calcans equus,
Fugamque curtus reprimit velox ſuam.
Ad folia ſcillæ fert retro paſſum lupus.
Curſumque ſuſpendit leo, (mirabile)
Iligneas ſi palpitet planta comas.
Quique eminus pauore territat feras,
Ignem paueſcit ipſe, natura flagrans.
Verum tuetur a dolis venantium
Veſtigiorum ambagibus leunculos.
Modo namque procedens, modo retro commeans,
Inuoluit incertis vias anfractibus,
Oblitteratque prouidus veſtigia
Caudæ piloſæ per ſolum verrumine,
Quam non modo ante prœlium ſcit callide
Vibrare, ſemet verbere huius excitans.
Ex arbitrariis flagellorum ictibus
Hoc maxime eſt, regnator Auſonum, nouum,
Laſſus ſopore quod iacens hanc ventilat,
Quo ſcilicet, qui belluarum rector eſt,

Sopore

Sopore se non obrui victum arguat.
Post carne quam sedauit affatim famem
Venationibus ferarum prodigis,
Exanguium quod relliquum est cadauerum,
Graueolentis afflat halitus spiramine,
Vicemque præstat spiritus custodiæ,
Munimine graueolentiæ mirabili,
Quod arcet impetum vel audacis feræ.
Egressus ad venationem denuo,
Cocto priore tanquam ad ignem ferculo,
Si cedat ex sententia felix labor,
Quod pridie cepit, superbe despicit.
Nam quis lubens quod putidum est comederit?
Sin fallat ipsum spes, reliquias rellegens,
Mensæ relictæ ferculum depascitur.
Sed querquera illi febris ossa concutit,
Cum sanus æuum cæteroquin transigat.
Namque illius nisi impetus audaciæ
Frigus perurens, paululum retundetet,
Nos anxius maneret exitii metus.
Et omnis illum carnis oblectat cibus,
At omnium beat cameli maxime.

xxxiv. De Cane Indico.

Inter canes est Indicus fortissimus,
Qui nec leonem pertimescit cominus,
Sed opperitur hostis insolentiam
Interritus stans mole sua, ac fugitibus
Eius relatrans, instat instanti ferox:

Osque

Καὶ τοῦ καθεύδειν ὑπερόπτης γίνεται.
Θηρῶν τε καὶ αὐτῶν τῶν κρεῶν τῶν προσφάτων,
Ὅταν κορεσθῇ τῆς τροφῆς τῆς ἀφθόνου,
Ἐᾷ τὰ λοιπὰ ἱεκελκῶς ἐψυγμένα.
Καὶ πνεῖ τι δεινὸν ἐγχανὼν τοῖς λειψάνοις,
Καὶ γίνεται τὸ πνεῦμα δὴ φυλακὴ ξένη.
Δυσωδίας γὰρ χάρακας ἱδρυσαμένη,
Τηρεῖ τότ' αὐτὰ, καὶ θρασὺς θὴρ ἐγγίσῃ.
Λέων γε μὴν ἔξεισιν εἰς θήραν πάλιν,
Οἷόν περ εἰς πῦρ τῆς τροφῆς πεπεμμένης·
Κἂν βοώμαλος μὲν ἐξ εὐερμίας τύχῃ,
Τὸ χθὲς προληφθὲν εὐγνώμως διαπτύει.
Τὸ γάρ τ' ὀδωδὸς, οὐχ ἑκὼν αὖ τις φάγοι.
Εἰ δ' οὔ, κατ' αὐτῶν εὐδρομεῖ τῶν λειψάνων,
Καὶ τὴν πάλαι τράπεζαν εὑρὼν ἐσθίει.
Πιέζεται δὲ τῷ τεταρταίῳ τρόμῳ,
Νόσων δὲ ὑγιὴς εὑρεθεὶς εἰς τὸν βίον.
Εἰ μὴ γὰρ ἡ φλέγουσα μικροῦ ψυχρότης,
Ἐπεῖχεν αὐτοῦ τὴν φορὰν καὶ τὸ θράσος,
Ὕπτιος αὖ ὄλεθρος ἡμᾶς ἐσρόβει.
Καὶ πᾶν μὲν αὐτὸν δὲ παχὺ τέρπει κρέας,
Εἰ δ' ἐσθίει κάμηλον, εὖγε τῆς τύχης.

Περὶ κυνὸς Ἰνδικοῦ.

Παντὸς κυνὸς μέγιστος, Ἰνδὸς πᾶς κύων.
Ὃς οὐδὲ τὸν λέοντα προσιόντα τρέμει,
Ἀνθίσταται δὲ, καὶ σφριγᾷ πρὸς τὴν μάχην,
Καὶ τοῖς βρυχηθμοῖς ἀνθυλακτεῖ σιωπηρῶς,
Ἐγκείμενον γὰρ καρτερεῖ τι, αὐθάδη.

Καὶ

Καὶ δάκνεται μὲν, ἀντιδάκνει δὲ πλέον.
Τέλος δὲ τοῦ τείνοντος αὐτὸν δραξάσης,
Κατὰ γῆς περιρίπτει, καὶ σπαράττει, καὶ θλίβει.
Αὖθις δ᾽ ἐπελθὼν κἀποκόψῃ τὸ σκέλος,
Τῶν τε μέγαν ἄγχοντι, καὶ πρὶν γινάδαν,
Μόλις ὁ κύων νεκρὸς ἀπανήσει τὸ στόμα.

Περὶ μαντιχώρου.

Ὁ μαντιχώρας θὴρ ἐν Ἰνδοῖς εὑρέθη,
Δασύς τε, ἐρυθρός τ᾽, εἶδος ἀνθρώπου φέρων,
Ὄμματα δὲ πυρσοῖς ἐμφερῆ γλαυκοχρόοις,
Ὀφρῦς δέ θ᾽ ἱκανὰς ἐκφοβεῖν καὶ μακρόθεν,
Ὦτα στεγανὰ, καὶ παραμήκη μετρίως,
Καὶ σφαιροειδῆ, καὶ ψιλὰ πρὸς τὰς βάσεις,
Ὀδόντας ὀξεῖς, δυσθεώρητον στόμα.
Τὰ δ᾽ ἄλλ᾽ ὅδε σαφῶς ἐντελὴς ὁ θὴρ λέων·
Μόνην γε μὴν ἔγκεντρον οὐρὰν ἐκφύων,
Ἐκηβόλος μέν ἐστι τοξότης φύσει,
Ποιεῖ δὲ νεκροὺς ταῖς βολαῖς τοὺς ὁπλίτας,
Οἳ τοῦτον ὁρμᾶς ἐλλοχῶσιν ἀσχέτοις.
Κἂν οὖτις γ᾽ ἀπαντῶν εὑρεθῇ κατὰ στόμα,
Γοργῶς ἀνακλῶν τῶν βελῶν τὴν ἐργάτιν,
Ὠθεῖ κατ᾽ αὐτοῦ καὶ προβαίνει σιωπηλῶς.
Κινούμενον γὰρ οὖν, ἀποαναφύει πάλιν
Καινοὺς ὀϊστοὺς καὶ τομοὺς τὸ θηρίον,
Καὶ τῶν διωκτῶν ἐν βραχεῖ καταχύει.
Ὄντων δὲ πολλῶν τῶν παρ᾽ Ἰνδοῖς θηρίων,
Καὶ πρὸς τὸ φαγεῖν ἀκρατῶν, καὶ δυσμάχων,
Ἀνθρωποφάγος ὅδ᾽ οὗτος ἐκλήθη μόνος.

Ἰνδὸς

Oſque imprimentem dente ſtringit acrius,
Donec prehenſum funditus ſternat ſolo,
Morſuque diuellat, & inhærens ſtrangulet.
Quod ſi quis accurrens, ei truncet pedem,
Hoſtis premenri dentibus ſuperbiam,
Vix ore fixo mortuus remiſerit.

XXXV. De Mantichora.

Eſt Mantichoras cognita Indis bellua,
Villoſa, rubra, atque hominis os præ ſe ferens,
Faceſque luminum colore cæſio,
Superciliaque idonea ad formidinem
Ciendam, & aures hiſpidas, nec admodum
Longas, rotundas, & baſin verſus glabras.
Dentes acutos, oſque viſu tetricum:
Refert leonem relliquo ſed corpore,
Præter quod eſt armata cauda ſpiculis,
Quas ceu ſagittas ipſa mittit eminus:
Ictaque perdit milites his obuios,
Qui perſequentes impetunt hanc arctius.
Quod ſi quis aduerſę manus huic conſerat,
Caudam reflectens ſpiculis intus grauem,
Inceſſit hoſtem cominus telis petens.
Nam dum mouetur, rurſus vnâ procreat
Nouas ſagittas ſpiculorum beſtia,
Queis inſequentum præualet mox viribus.
At imporentes cum vorando, nec manu
Dociles domari, plurimæ Indis ſint feræ,
Homines vorando ſola nomen hæc tulit.

Cuius

Cuius tenella nactus Indus pignora,
Elidit ad prærupta caudas rupium,
Vt procreandis illa inepta spiculis,
Tactaque reddat molliens innoxia.

xxxvi. De Monocerote.

Est Vnicornis Indiæ fera cognita,
Horrenda visu, calcium quibus ferit
Armis rimenda: sed ore si quem proruens
Momorderit, vix Pæonis solers manus,
Præsens leuarit vulneris periculum.
Hæc insolenter verticis motans iubam,
Longumque noxiumque cornu porrigit,
Quod frontis enatum sub ipso tubere,
Non est cauum, nec more cornuum leue,
Nec compari vndiquaque constat germine,
Limaque ferri visitur mordacius,
Gyris in orbem conuolutum iugibus,
Acutius mucrone teli peruio,
Reciprocis vt non recuruum flexibus.
Ad vsque florem quod iuuentutis nigrum est,
Colore cum sit ipse fuluo præditus,
Caudaque aprum, rictu leonem præferat.
Idoneosque cursibus, licet rudes,
Gestat pedes, amatque solitudines,
Salrusque solus peruagatur deuios,
Et bestiarum ceterarum erga genus
Comem gerit se, ceu gregi assuetus canis.
At non item cognationem amat suam,

Ἰνδὸς λαβὼν δὲ τὸ βρέφος τοῦ θηρίου,
Λίθοις διαθλᾷ τῷ πρὸς ἄκρον ἰχίον.
Ὡς αὖ ἀφυὲς δὴ πρὸς τὰ κέντρα δεικνύων,
Ποιεῖ πιθακὸν ἐξ ἀφῆς ἀκινδύνου.

Περὶ Μονοκέρωτος.

Ὁ μονόκερως δὲ θὴρ παρ' Ἰνδοῖς εὑρέθη.
Δεινὸς μὲν ὄντως ἰδεῖν, εἰ δὲ λὰξ ἐπεισπέσοι,
Βαρὺς μαχητής. εἰ δὲ κύψας ἐνδάκοι,
Μόλις δι' εὐφυοῦς ἰατρικῆς χειρουργίας,
Πείσει παρελθεῖν τὴν φθορὰν τοῦ κινδύνου.
Σοβῶν δὲ πυκνὰ τὸν κορυφαῖον λόφον,
Ὠθεῖ τὸ μακρὸν καὶ φθορᾶς πλῆρες κέρας.
Ὃ τῶν ἀκαλῶν ἐκπεφυκὸς ὀφρύων,
Οὐ κοῖλον ἐστὶν, οὐδὲ κοῦφον ὡς κέρας,
Οὐδ' ἀφ' ὁμαλοῦς γε τῆς φυῆς προηγμένον,
Μᾶλλον δὲ τραχὺ καὶ σιδηρέας ῥίνης,
Ὡς εἰς ἑλιγμοὺς πρὸς φυεῖς κεκλωσμένον.
Ὀξύτερον αὐτὸ καὶ τεθηγμένου βέλους,
Ὡς μὴ κεκυφὸς εἰς ῥοπὰς παλιντρόπους.
Μέλαν δὲ πᾶν ἐκεῖνο τῆς ἀκμῆς δίχα.
Ξανθήν γε μὴν κράτιστε τὴν λάχνην φέρει,
Οὐρὰν συὸς δὲ, καὶ λεόντειον στόμα,
Καὶ θεῖν μὲν ὀξεῖς, ἀλλ' ἀνάρθρους τοὺς πόδας.
Ἀσπάζεται δὲ τοὺς ἀπανθρώπους τόπους,
Καὶ ζῇ παροικῶν καὶ πλανώμενος μόνος.
Καὶ πρὸς μὲν ἀλλόφυλα θηρίων γένη,
Ὁ θὴρ προσηνὴς, ὡς ἐθὰς ποίμνῃ σκύλαξ·
Τὸ συγγενὲς δὲ, καὶ κατὰ φύσιν φίλον,

Ἐναντίον μάλιστα καὶ δυσνοῦν κρίνει.
Πραΰνεται δὲ παρὰ τὴν θήλυν μόνον,
Οἴστρου χαλινοῖς ἐκδαμάζων τὸν τῦφον,
Ἕως τὸ ῥευστὸν τῆς γονῆς ἀφυβρίσῃ.
Τοῖς κτήνεσιν δὲ πᾶσι τοῖς κερασφόροις,
Ἐγγάστριος ἔνεστ' ἀκριβῶς ἡ θερμότης,
Ἣ τὰς τὸν ἐγκέφαλον ἐπαρδούσας φλέβας
Χαυνοῦσα ποιεῖ συστολῆς ἐλευθέρας.
Κἀκεῖ τι λεπτὸν ἐμπέφυκεν ὀστέον,
Τὰς προαναγωγὰς τῆς τροφῆς προσλαμβάνον.
Κινούμενον δὲ τῇ ῥύμῃ τοῦ πνεύματος,
Τότε τῆς χλιδῆς τὸ γόνιμον ἐκχέει τῶν πόρων,
Ἐν οἷσι τῶν κροτάφων τὸ μανὸν ὀστέον,
Τὰς ἐξαγωγὰς ὀργανοῖ τῶν ἰκμάδων,
Τοῦ συνεχέος πηγνύντος αὐτὰς ἀέρος.
Τὸ τοίνυν ἁπαλὸν καὶ νεώτερον κέρας
Ὠθεῖ τὸ πρότερον, ἐκδραμεῖν ἠπειγμένον,
Καὶ τοῦτο πάλιν ἄλλο κατόπιν ἐπιτρέχον.
Οὐ γὰρ δυνατόν ἐστ' ἀτρεμεῖν τὰς ἰκμάδας
Πηγνυμένας ἔσωθεν εἰς χαύνους τόπους.

Περὶ Ὀνάγρου καὶ τούτου κέρατος.

Ἰνδῶν σὺ βασιλεῦ, τῆς ἐμῆς φωνῆς συνίες,
Καὶ δὸς καθαρὸν δεῦρ' εἰς ἀπόκρισιν λόγον,
Τί δή ποτ' ἐστὶν ὁ κρατὴρ ἐξ οὗ πίνεις;
Καὶ γὰρ διαυγὴς καὶ περιμήκης εὑρέθη,
Καὶ τρεῖς ἔχει ζωστῆρας ὡς λίθου φλέβας,
Λευκόν τε, μελανά τε, καὶ τὸ χρῶμα πορφυροῦν.
Ὄναγρος ἡμῖν ἐστί, φησί τις, μέγας·

Ὃς

Sed odit, infestissimamque iudicat.
Mansuescit autem comparis torum ambiens,
Frenis furoris edomans ferociam,
Dum feminis defæuiat lasciuia.
Et vniuersæ animantium propagini
Quæ cornua gerunt, venter impense calet:
Quo fit, rigantes vt cerebrum riuuli,
Non comprimant calore laxati vias.
Quod est os illic infirum tenerrimum,
Penum affluentis suscipit alimoniæ:
Cuius redundans pars, ciente spiritus
Commotione, profluit meatibus.
Quorum in cauernis temporum os rarissimum,
Humoribus iter pandit emanantibus,
Quos frigus indurat coarctans aeris.
Sic ergo cornu quod recens subnascitur,
Protrudit atque promouet prius editum,
Et hoc item quod pone succedens subit.
Namque humor intus acquiescere haud potest,
Spiraculorum laxitate profluens.

XXXVII. De Onagro & illius cornu.

Regnator Indorum, mihi aures commoda,
Verbisque responsum meis da liquidum:
Quid vult sibi, dic obsecro, crater tuus,
Ex quo bibis, prælatus, & pellucidus,
Ceu venulis, distinctus orbe triplici,
Albo, nigroque, atque æmulante purpuram?
Onager est hic arduus nobis, ais,

Qui relliqua quidem albus apparet cute,
Sed purpura tinctum gerit sursum caput:
Quod hoc mihi cornu dedit mirabile,
E palpebrarum prominens discrimine.
An vinolentię voluptas te capit,
Inquam: illud vlna longius nam conspicot?
An gloriam affectas nouo spectaculo?
Atqui medetur hoc meraci iniuriæ,
Opemque contra fert venena quælibet,
Morbique sanat sontici tentamina.
Solidipedum autem solus, ô rex optime,
Talumque gestat, felle nec destituitur.
Sanator ille corniger mortalium;
Cuius caro non est idonea esui:
Cursuque fertur concito. quod si petat
Cornu, fugam instar alitis cape ocius:
Nam calcibus cornuque sternit proximos.

XXXVIII. De Cynocephalis.

Mortalium noui genus cynocephalum,
Quod verba non edit, sed vlulatum crepat,
Ferturque quolibet pernicius cane,
Ferasque sectatur per agros, victitans
Ad solis ignem torrefactis carnibus.
Et pellium sese induit velamine,
Hominum molestum nemini, aut iniurium.
Sed & loquentes incolas intelligit;
Bouesque pascit, lacte perfrui vt queat.

XXXIX. De

Ὃς τρίχα τε λευκὴν εἰς τὸ πᾶν δέρας φέρων,
Αὐτὴν ἐρυθρὰν τήν γε κεφαλὴν δεικνύει.
Ἢ τοῦτο μοι δίδωσι τὸ ξένον κέρας,
Ἐκκύπτον ἁπλοῦν τῆς λαβῆς τῶν ὀφρύων.
Ἆρ' οὖν μέθης (εἴρηκα) λαμβάνεις χάριν;
Ὁρῶ γὰρ αὐτὸ καὶ κατ' ἐς πῆχυν μέγα.
Ἦ φιλακμῇ, καὶ προπίνεις τὴν θέαν;
Καὶ μὴν ἀναιρεῖ τὴν κακὴν, ἡ δ' ὅς, μέθην,
Ἰοῦ τε παντὸς ἀντιφάρμακον μένον,
Ἣν ἱερὰν καλοῦσι καθαιρεῖ νόσον.
Ἀστράγαλον αὖ δὲ καὶ χολῆς κύστιν φέρει,
Τῶν μωνύχων, βέλτιστε, τῶν ἄλλων μόνος,
Ὅ γε τὸ γαλιναῖον τὸ κεράτινον φύων,
Οὗ τὸ κρέας τ' ἄβρωτον ἐξ ἀηδίας,
Θεῖ τε μάλα γοργόν· εἰ δὲ κυρίττειν θέλοι,
Φεῦγε πτερωτὸν ἐκμιμούμενος τάχος.
Φονεὺς γάρ ἐστι κἂν παρέλθῃ λακτίσας.

Περὶ κυνοκεφάλων.

Οἶδα τὶ κυνόμορφον ἀνθρώπων γένος,
Ὃ φθέγγεται μὲν οὐδὲν, ἀλλ' ὠρύεται.
Παντὸς κυνὸς δέ τ' εὔδρομον μᾶλλον μένον,
Τοὺς θῆρας αἱρεῖ, καὶ σιτεῖται τὰ κρέα,
Ξανθέντα, καὶ φρυγέντα, φωσφόρου ζέσει.
Στολίζεται δὲ τὰς δειρὰς ταῖς ἐκ πόνων,
Καὶ ζῇ λυποῦν ἄνθρωπον ἁπλῶς οὐδένα.
Ἰνδῶν συνίησι τε φωνῆς ὀξέως,
Καὶ βοῦς, χάριν γάλακτος, ἠπίως νέμει.

Περὶ τινῶν ζωϋφίων Ἰνδικῶν ἐπιτηδείων πρὸς βαφήν.

Ἡ γῆ μὲν Ἰνδῶν, δένδρον εἰς ὅρος φύει·
Τὸ δ' αὖ τρέφει, κράτιστε, θηρίον πάλιν,
Τοῖς κανθάροις ἐοικὸς ἔκδοθεν ἀκρίδων.
Ἠλέκτρινον γάρ ἐστιν αὐτῷ τὸ τρύφος,
Ἔχει δὲ λεπτοὺς καὶ περιμήκεις τοὺς πόδας.
Καὶ τοῦτο ῥιπτῶν ὁ κναφεὺς ἐκ τῶν κλάδων,
Νιφάδεσι πυκναῖς εὐτελῶν ἀκοντίων,
Ἐπί τινος εὐθὺς μηχανῆς ἀποθλίβει.
Σὺ δὴ βλέπων θαύμαζε τὰς φοινικίδας,
Ἃς εἷλε χερσὶ τῆς βαφῆς ὁ τεχνίτης.
Ἡ γὰρ δ' ἀποστάξασα γῆ θλίψει δρόσους,
Ἀνῆκεν αὐτοῖς εὐφυοῦς ῥόδου χρόαν.

Περὶ ὀνοκενταύρου.

Ἀνθρωπόμορφον εἶδον, Ἰνδὲ, θηρίον.
Τί δήποτ' ἐστὶ φράζε (φησὶ) τὴν πλάσιν·
Πολλῶν γὰρ ἡμεῖς εὐποροῦμεν ἀγρίων.
Πρόσωπον ἀνδρὸς εἶδον, Ἰνδὲ, καὶ κόμην,
Καὶ στέρνα, καὶ τράχηλον ἄχρις ἰξύος,
Καὶ χεῖρας αὐτὰς ἀνδρικὰς, καὶ δακτύλους,
Ἐπεῖτα μαζοὺς ὡς γυναικὸς ἠρμένους.
Ῥάχις δὲ, καὶ πλευρὰ, λαπάραι, γαστὴρ, πόδες
Καθαρὸν ὄνον τιν' ὀργανοῦσι τὴν θέαν.
Ἐστ' ὀξύτατον δὲ, καὶ βαρύθυμον μένον.
Βάδην μὲν οὐ πρόεισιν, ὡς θὴρ δὲ τρέχει·
Κινεῖ τε γὰρ τὰς χεῖρας ὡς καὶ τοὺς πόδας.
Καθήμενον δὲ πνευστιᾷ μετὰ δρόμον.

Ἐστὶν

XXXIX. *De Indicis quibusdam animalculis idoneis ad tincturam.*

In montibus fert Indiæ solum arborem,
Simillimum quæ cantharis gignit animal,
O Rex, locustarum fatum propagine.
Manantium quod succino victu arborum
Gaudet, pedesque porrigit tenellulos.
Quod fullo deiectum arborum de frondibus
Leuium imbre iaculorum niuali, protinus
Artis sagacis exprimit solertia.
At tu videns mirare quæso purpuras,
Quas artifex fert rite tingendi catus.
Expressione namque destillans liquor,
Rosæ colorem illis amabilem refert.

XL. *De Onocentauro.*

Vidi, Inde, forma præditam hominis belluam,
Quid vult sibi hæc? doce, inquit ille, fabricam:
Hæc namque multas ora nutrit belluas.
Vidi os viri, barbamque confertam pilis,
Vidique collum, cumque pectore ilia,
Palmasque, palmarumque dactylos pares;
Deinde mammas feminæ ceu turgidas.
Dorsum, latusque, venter, abdomen, pedes,
Asinum exhibent spectantibus simillimum.
Acerrimum vero est, granique pectoris
Acerbitate, nec gradatim inambulat,
Sed concito, instar belluæ, cursu ruit,
Manusque currens non secus ac pedes mouet.

Anhelat autem, a cursibus cum sederit.
Estque cineraceo colore præditum,
Captumque se fame enecat, pullus licet:
Quod seruitutis nesciat iugum pati.
Est hic, ait Indus, fera Onocentaurus mala.

xli. De Lupis.

Iuncto lupi cum flumen agmine transeunt,
Ne quando nantes fluctuum vis auferat,
Caudis tenentes mordicus se mutuo,
Tranant aquarum vortices liberrime.
Pasto lupus ieiunio, non iam lupus,
Balantium sed inter erit agnus greges.
Recondat aluo namque tunc haud quippiam,
Cum turget inflatus cibo præcordia,
Tumentque clausa faucium repagula.
At vbi breuis decoxerit pastum mora,
Ad pristinum lupus lupum reuertitur.
Collum, quod eius pendet ex humeris, breue est:
Hinc corpus inflectit, retro quando videt,
Valensque cursu, inuadit auersus bouem,
Quod cornuum ferale acumen horreat:
Morsuque ceruicem cruentans arduam,
Diuellit hostem dentibus, neci datum.
Acie oculorum præualens, luce fruitur,
Ceu noctua, atra noctis in caligine.
Experſque morbi, mortuus cadit tamen,
Herba comesta, nominant quam Lycoctonon.

Ἐστὶν δὲ καί τι φρᾶδες, Ἰνδὲ, τὴν χρόαν,
Θνήσκει δὲ ληφθὲν ἐκ λιμοῦ, κἂν ᾖ βρέφος.
Τὸ δούλιον γὰρ ἦμαρ, οὐ θέλει βλέπειν.
Ἐστὶν ὁλοκέντωτος, ὁ δ' αὐτὸς, ὡς λέγεις
Ζῶον πονηρὸν, εἶπεν Ἰνδὸς πρὸς τάδε.

Περὶ λύκων.

Ὕδωρ διανέοντες μὲν ἀθρόοι λύκοι,
Μή πως τὸν ἐσμὸν ἡ ῥοὴ περιτρέποι,
Οὐρὰς τὰς ἐνδακόντες ἀλλήλων μόνον,
Πρὸς τοὺς ἰλίγγους διαδρομοῦσι τῶν πόρων.
Λύκος φαγὼν δὲ, καὶ κορεσθεὶς, οὐ λύκος,
Ἀλλ' ἀμνὸς αὖ φαίνοιτο ποιμνίων μέσον.
Οὐ γὰρ δύναιτό γ' ὁ φθορεὺς ἐπεσθίειν,
Ἀλλ' ἐστὶν οἰδῶν τῇ τροφῇ τὴν γαστέρα,
Καὶ τὴν ὑπογλωττίδα τῶν παρελθμίων.
Καὶ τοῦ κόρου πεφθέντος ἐν βραχεῖ χρόνῳ,
Ὁ θὴρ πάλιν δείκνυσι τὸν πρῶτον λύκον.
Βραχὺν δὲ τὸν τράχηλον ἐκ νώτων φέρων,
Ἐπιστρέφει τὸ σῶμα, καὶ βάδην τρέχει.
Ἰδών τε ταῦρον ἐξελίττει τὸν δρόμον·
Τὰς γὰρ ἀκωκὰς τῶν κεράτων οὐ στέγει·
Καὶ τὸ γε δειρῆς τὸν τοσοῦτον δὲ πάσσαις,
Διασπαρακτὸν ἐκλυθέντα δεικνύει.
Ὁρᾷ δὲ μακρὰν, ὀξυδερκὴς ὢν φύσει,
Καὶ γλαὺξ ἀτεχνῶς ὑπό γε νύκτα καὶ σκότος.
Θνήσκει δὲ γοργῶς, μηδὲ συμβάσης νόσου,
Φαγὼν πόαν, κράτιστε, τὴν λυκοκτόνον.

Περὶ τῆς ἄρκτου.

Ἄσημον ἄρκτος ἀποτεκοῦσα κρέας,
Σοφῶς διαρθροῖ, καὶ τυποῖ, καὶ φαιδρύνει,
Καὶ δημιουργεῖ πλαστικῶς τοῦτο βρέφος.
Λεῖον τιθεῖσα τῷ μαλθακῆς γλώττης πόνῳ,
Λασίοισι καὶ θάλψασα μηροῖς τὸ τέκνον,
Ἐνῆκε θηλὴν μητρικὴν τῷ φιλτάτῳ.

Περὶ ὑαίνης χερσαίας τε καὶ θαλασσίας.

Ἄρρην μὲν ἣν ὕαινα τὸ χθές που χρόνον,
Θῆλυς δὲ τὸ νῦν, δρᾷ τε, καὶ πάσχει πάλιν,
Οὐκ οἶδε μητροπάτωρ ὅπως τε γίνεται,
Κύουσα καὶ σπείρουσα τὴν διφυΐαν.
Ἐὰν δέ τ᾽ ἐντύχῃ τινὶ καθεύδοντί που,
Ἐν ἡσύχῳ προῆλθε πελμάτων βάσει,
Καὶ τὴν ἑαυτῆς ἐντινάσα δεξιὰν,
Καθῆκεν εἰς τὴν ῥῖνα τοῦ κοιμωμένου·
Κάρου γὰρ εἶναι φασὶν αὐτὴν ἐργάτιν·
Πρὸς τοῦδ᾽ ὀρύξασα κεφαλῇ τε πυθμένα,
Προὔθηκε τὴν φάρυγγα γυμνὴν ὑπτίαν.
Ἧι τοῦ φονώσης αὐτίκ᾽ ἐμφύσης μάλα
Ὁ παῦλαν αἰτῶν, δυστυχῶς ἀπεπνίγη.
Πάλιν καθεύδοντος δέ τ᾽ εἴπου τις θίγοι,
Τῇ τῆς θαλαττίας πτέρυγι τῇ δεξιᾷ,
Ἄρρητον εὐθὺς ἐμβαλεῖ τούτῳ φρίκην,
Καὶ δεῖμα πολλῶν, αὐσυνάρχα, φασμάτων.
Ὕαινα δὲ τήκουσα τὰς κύνας δόλῳ,
Θηραλικῶν πόθ᾽ ἑστιᾶται σαρκίων.
Οὔσης γὰρ αὐγῆς δαψιλοῦς ἐν ἑσπέρᾳ,

Παῦ-

xlII. De Vrsa.

Rudem edit Vrsa nixibus carunculam,
At format artis expolitque industria,
Informis artus affabre carunculæ,
Linguaque lambens hanc glabram sensim facit:
Post hispidi fouens sinus cubilibus,
Carissimo materna præbet vbera.

xlIII. De Hyana & terrestri & marina.

Hyæna quæ mas pridie videnda erat,
Nunc femina est, initque inituque inuicem,
Maternus vtque fiat auus haud dixerit,
Aluo ferens, ferensque fœtum mutuo.
Si forte quenquam dormientem offenderit,
Pede strepitum non excitante subuolat,
Suamque porrigens dolose dexteram,
Somno iacentis admouet eam naribus,
Soporis auctorem, quod aiunt, maxime.
Hinc eruto, quod subtus est caput, solo,
Deponit hoc, nudo & supino gutture,
Inque illud incumbens feris complexibus,
Somnos trahentem strangulat miserrime.
Quod si marinæ quispiam hyænæ pinnula
Dextra, sopore tangat oppressum, grauem
Statim rigorem huic iniicit, cum somniis,
Quæ terreant dira iacentem imagine.
Astutia canes hyęna irretiens,
Mox pascit horum carnibus ieiunia.
Fulgente namque Cynthia sub vesperam,

Vmbra sui illos corporis ferit, retro
Lumen tegens vestigiorum callide,
Mutosque reddens percitos formidine,
Instar veneficæ increpantis carmine,
Occidit incautos doli crudeliter.

xliv. De Thoe.

At quæ pudoris eruditus dogmata,
Hominem veretur Thos, hominem si viderit?
Quæ iura fœderationis mutuæ
Colens, opem fert impiger nobis suam,
Hostilis in nos irruat si bellua?

xlv. De Aetnæo pisce.

Quo castitatem doctus, ô Rex, arbitro
Ætnæus externos fugit piscis toros,
Vt nec semel quis deprehenderit vagas
Hunc haurientem flammulas præcordiis?

xlvi. De Boue.

Iuuenca cunctos apta ad vsus, sarcinas
Gestat, labores & colonorum adiuuat,
Suoque mensas lacte pascit affatim,
Suoque tandem gignit apes cadauere.

xlvii. De Capra.

Spirare capram fertur auribus cauis,
Nec narium dolere clausis ostiis.

xlviii. De pelle Ouis a Lupo lacerata, & lapide quem canis morsu impetijt.

Ne pastor illo, ne induaris tegmine,
Exuta quod dat ouiculæ pellis, lupus

Παρῆκεν αὐτοῖς τὴν σκιὰν τοῦ σώματος,
Τὸ κάτοπτιν κρύψασι τοῦ δρόμου σέλας,
Καὶ καταστήσασι τὰ πρὸς τρισαθλίας,
Ὡς φαρμακὶς εὔτεχνος ἐξ ἐπασμάτων,
Ἀνεῖλε πικρῶς ἀγνοοῦσας τὸν δόλον.

Περὶ Θωός.

Ποίους δὲ καλῶς ἐκμαθὼν αἰδοῦς νόμους,
Αἰσχύνεται θὼς, εἰ τὸν ἄνθρωπον βλέποι;
Ποίαν δὲ τηρῶν τηνικαῦτα ὁμαιχμίαν,
Ἄληκτος ἥκει συμμαχῶν ἡμῖν φίλος;
Ἐὰν ἄρα τὶς θὴρ δυσμενὴς ἐπιτρέχοι.

Περὶ Αἰτναίου ἰχθύος.

Πόθεν δὲ, βασιλεῦ, σωφρονεῖν πεπεισμένος,
Ἀλλοτρίους πέφευγεν αἰτναῖος γάμους;
Ὡς μὴ δι᾽ ἅπαξ ἔλεγχος εὑρέθη ζέων,
Τῆς τῶν κατ᾽ ἄλλων ἐν φθοραῖς ἀγρυπνίας.

Περὶ Βοός.

Πάγχρηστον ἡ βοῦς, καὶ κομίζει φορτία,
Καὶ τοὺς γεωργοὺς ὠφελεῖ πρὸς τοὺς πόνους,
Ἤδε γάλα ποιεῖ, καὶ τραπέζας ἀρτύει,
Μετὰ δὲ τελευτὴν καὶ μελίττας ἐξάγει.

Περὶ αἰγός.

Τὴν αἶγα φασὶν ἀπ᾽ ἀνὰ τῶν ὤτων πνέειν,
Ἀλγοῦσαν οὐδὲν τοῦ ῥινὸς πεφραγμένης.

Περὶ δορᾶς οἷος λυκοσπάδος, καὶ
λίθου κυνοδήκτου.

Χιτῶνα δὲ λαβὼν ἐκ δορᾶς λυκοσπάδος,
Οἷός σε, πρεσβῦτα, μηδαμῶς ἐπενδύσης.

Ποιεῖ

Ποιεῖ γὰρ εὐθὺς, κνησμονὴν τε καὶ φρίκην,
Παλμοὺς ἀτερπεῖς ἐμβαλὼν τῇ καρδίᾳ.
Οἴνῳ δὲ κυνόδηκτον τις ἐγκρύψας λίθον,
Στάσιν πονηρὰν ἐξεγεῖ εἰ τοῖς φίλοις.

Περὶ ταράνδου.

Ζῶον τι καὶ τάρανδος ἐν Σκύθαις μέγα.
Ταύρῳ γὰρ αὖ τις ἐμφερὴ τοῦτον κρίνοι,
Τὸν ὄγκον ἀθρῶν τῶν μελῶν, καὶ τὸν δρόμον.
Κλέπτων δὲ τὴν αἴσθησιν ὡς χαμαιλέων,
Εἰς χρῶμα ποικίλον ἰδίας τρίχας τρέπει.
Τὸν ἄστατον γὰρ καὶ παλίμβολον βίον,
Καὶ τῶν πονηρῶν ζωγραφεῖ τὰς ἐμφάσεις.
Οἵτε παρὰ κερδαίνουσι τοὺς ἁπλουστέρους,
Πλανῶντες εἰκῇ, ταῖς τροπαῖς τῆς καρδίας.
Τούτου δὲ βασιλεῦ, τὴν δορὰν θώραξ φέρων,
Ὑπῆρξε παντὸς εὐτονώτερος βέλους.

Περὶ ζώων τινῶν καθ' ὕπνον βλεπόντων.

Ὢ πῶς καθεύδει, καὶ δοκεῖ πάλιν βλέπειν,
Ὄφις τε καὶ πτὼξ, καὶ θυμοῦ πλήρης λέων;
Ἐπιπέταται γὰρ ἡ χλαμὺς τῶν ὀμμάτων
Ἄλλου τινὸς χιτῶνος ἁπαλωτέρου
Φρουροῦντος αὐτοῖς, ὡς διόπτρας, τὰς κόρας.

Περὶ πτωκῶν.

Πόθεν τὸν αὐτὸν οἱ ταχεῖς πτῶκες χρόνον,
Ἄλλους μὲν ὠδίνουσιν εἰς φῶς ἐκγόνους,
Ἄλλους δέ τε κατέχουσιν ὡς νωθεῖς ἔτι,
Πρὸς δευτέραν γέννησιν ὀργανουμένους;
Καὶ πρὶν δ' ἐπελθεῖν τὴν γονὴν τὴν ὑστέραν,

Ἄλλους

Quam dente ſtrinxit:illa nam pruriginem,
Cordiſque palpitationes excitat.
Quod ſi lapillum quem canis præmorderit,
Vino ingeras, mox concitabis prœlia.

xlix. De Tarando.

Eſt in Scythis Tarandus ingens bellua,
Proceritate quem boui dicas parem,
Si membra contempleris,& curſum notes.
Sed intuentes fallit vt Chamæleon,
In mille vertens ſe pilorum imagines,
Mutabilem vitæ ſtatum,& variabilem,
Ac improborum denotat verſutiam,
Qui nequiter pecunia emungunt probos,
Illuſione verſipellis pectoris.
Thorax paratus illius de tergore,
Haud ſpiculorum perforatur ictibus.

l. De Animalibus quibuſdam, quæ per ſomni quietem oculis cernunt.

Quî fit, ſimul ſomnoque fungi, & cernere,
Serpens quod apparet, lepusque & impiger
Leo? chlamydem illi luminum circumtegit
Hanc namque tunica mollior, cuſtodiens
Velut dioptras, quæ ſub his ſunt, pupulos.

li. De Leporibus.

At cur eodem cita cohors leporum tempore,
Alios quidem ſub ſolis edunt lumina,
Alios vt immaturum onus vtero tenent,
Promant ſecundis nixibus quos viſcere?
Et antequam concepta reddant ſemina,

Noue

Nouo grauescit aluus aucta pondere.

LII. De Chamæleonte.

Chamæleon, o Rex, colorem murat &
Æquans lacertam propalam, pilis caret:
Et nunc videndus luteus, post visitur
Clarus, deinde liuidus, mox giluus est
Summe, ruberque rursus, & rursus niger,
Maculisque pictus capreæ instar cernitur,
Quandoque flauus vt leo videbitur.
Tot induens autem colorum imagines,
Referre nescit candidum solummodo.
Lignum ore forte continens, sic impetum
Eludit incumbentium sibi anguium.
Versans sub illo namque sese callide,
Eludit anguis inhiantis impetum:
Quod relliquam morsu licet pellem appetat,
Nil promouet, festuca si tegat caput,
Quod tegminis præstet vicem pellis tenor:
Nempe improborum audaciam nobis notat,
Vitæ magister ille non incallidus.

LIII. De Lacerto.

Si pallidum secans lacertum diuidas,
Vtrinque pars præsecta coalescit iterum.
Nec partium fugit oculos coniunctio,
Post mortuus quam pedibus ille arrepserit.

LIV. De Echino aquatili.

Nec non Echinum, separatis partibus,
Nutrit sinus quem litoris, si abieceris,

Coire

Ἄλλους πάλιν κύουσιν ἐξ ἄλλου σπόρου.

Περὶ χαμαιλέοντος.

Χαμαιλέων, κράτιστε, τὸν χρῶτα τρέπει.
Σαῦρος γὰρ ὢν ἄντικρυς οὐκ ἔχει τρίχας,
Καὶ νῦν μὲν ὠχρὸς, νῦν δὲ φαιὸς γίγνεται,
Εἶτα πελιδνὸς, εἶτα κιρρὸς εἰς βάθος.
Καὶ νῦν ἐρυθρὸς, καὶ παραυτίκα μέλας,
Καὶ στικτὸς ἂν γένοιτο δορκάδος δίκην.
Καὶ ξανθὸς ἂν φαίνοιθ᾽ ὅδε καθάπερ λέων.
Οὕτω δὲ σώματος τοῦδ᾽ ἀλλοιουμένου,
Τὸ λευκὸν ἠγνόησεν ἡ φύσις μόνον.
Στερρὸν δὲ τῷ στόματι παρακατέχων ξύλον,
Ὄφεις λυπεῖ σφύζοντας αὐτὸν ἐσθίειν·
Καὶ γὰρ ἑαυτὸν εὐφυῶς ἐπιστρέφων,
Μάτην περιχαίνοντας αὐτοὺς δεικνύει.
Κἄν τις δυνηθεὶς τὴν τε φορίνην ἐνδάκοι,
Οὐ τοῦτο δεινὸν τῷ τὸ κάρφος ἠρμένῳ·
Καὶ γὰρ στεγανὴν ἐνδιδύσκεται σκέπην,
Καὶ τῶν πονηρῶν ἐξελέγχει τὸ θράσος,
Τοῦ ζῆν σοφιστὴς εὐμαθὴς ὢν αὐτόθεν.

Περὶ Σαύρου.

Σαῦρον τὸν ὠχρὸν, εἰ τεμὼν διασπάσῃς,
Ἁρμόζεται ζῶν ταῖς τομαῖς οὕτω πάλιν.
Εἰσὶν σαφῶς δὲ τῶν μερῶν αἱ συνθέσεις,
Τοῖς ποσὶν ὁ νεκρὸς ὅταν ἐφερπύσῃ.

Περὶ Ἐχίνου ἐνύδρου.

Καί τις δ᾽ ἐχῖνον συντριβέντα σκορπίσας,
Ὃν εἶδεν ἀκτῆς εὐμενὴς κόλπος τρέφειν,

Τάχ' αὖθ' ἴδοι, κράτιστε, συντεθλιμμένον
Καὶ ζῶντα τὸν πρὶν δυστυχῶς τεθραυσμένον.
Ὥστ' εἰ πολὺς τὸ ῥεῖθρον ἐκμαίνοι κλύδων,
Εἰς τὰς ἀκάνθας ἐμβληθεὶς ἄρας λίθους,
Μήπως ὑπαχθεὶς ἐκκυλισθῇ τῇ ῥύμῃ,
Πρὸς τὸν μυκηθμὸν καρτερεῖ τῶν βρασμάτων.

Περὶ ἐχίνου χερσαίου καὶ λυγγουρίου.

Ἐχῖνος ἐκ γῆς οἶδ' ἀκάνθαισιν βρύων·
Καὶ τῇσι πρασιαῖς ἐκκυλινδεῖται κρύφα·
Καὶ τὰς ἐκεῖθεν ἐμπαρείρας ἰσχάδας,
Εἰς τοὺς ἑαυτοῦ φωλεοὺς θησαυρίσας,
Οὐκ ἔχει λιμοῦ συμφορὰν ὀλεθρίου.
Συστέλλεται δὲ, καὶ τὸ πᾶν σῶμα στρέφει,
Καὶ τῶν ἀκανθῶν τὰς λαβὰς ἀπευθύνει,
Ἔγγιστα τὸν παρόντα θηρατὴν βλέπων.
Δοκεῖ δὲ νεκρὸς, τὴν πνοὴν ὑποπνίγων.
Εἴ που γε μὴν θέλοι τις αὐτὸν λαμβάνειν,
Εὐθὺς ἐνουρῶν τὴν δορὰν διαβρέχει.
Ἀνθίσταται χαλεπῇσι γὰρ νόσων βίαις,
Ἂν οὐ μολυνθῇ τῇ βροχῇ τῆς αἰσχύνης.
Οὖρον δὲ λυγγὸς ἐκτραχυνθὲν εἰς λίθον,
Στερρός τις ἐστιν ἐγκοπεὺς πρὸς τοὺς λίθους·
Τῆς κύστεως δὲ τοὺς βαρεῖς ἄλλως λίθους,
Εἰς πῦρ κομισθὲν καὶ ποθὲν, διατρίβει.
Τοῦ γοῦν ἐχίνου τὴν σποδὸν κεκαυμένου,
Πίττῃ νεωστὶ συντεθεῖσαν εἰς χρίσιν,
Φύειν ἰατροὶ καὶ ψιλοῖς φασὶν τρίχας.
Οἴνῳ δὲ λευκῷ συγκραθεῖσαν εἰς πόσιν,

Ἀλγοῦσι

Coire cernes, Rex, nouo spectaculo,
Membrisque truncatum prius vita frui.
Hic fluctibus tumente sæuis æquore,
Suis onus spinis lapillorum subit:
Neu forte prouoluatur vndæ incursibus,
Se firmat ipse ponderis gestamine.

IV. De Erinaceo terrestri & lyncurio.

Quod spiculis horrere se scit hericius,
Per culta voluitur vireta clanculum,
Spinisque fixas auferens ficus, sui
Mox in cubilis congerit cauernulas,
Ne dira ieiunum premat pænuria.
Se totus autem contrahit ritu pilæ,
Sursumque acumen dirigit spinarum atrox,
Venantium agmen si propinquum senriat,
Et spiritu videtur arcto mortuus.
Quod si quis ipsum tollere ausit, protinus
Humectat vrinæ cutem respergine,
Quam scit malignis esse morbis temedium,
Madore si non imbuatur lotii.
Cum lyncis vrina in lapillum induruit,
Cælum lapillis fit secandis commodum,
Grauesque vesicæ recocta calculos,
Et hausta rite poculentis, conterit.
At torrefacti cinerem echini, si pice
Ad vnctionem temperet quis liquida,
Medici ferunt, glabris pilos producere:
Quem temperatum si bibas albo mero,

Renum dolori pharmaco hoc medeberis:
Quod epar incensum simul refrigerat,
Et phlegmones sedat tumorem feruidum.

lvi. De Hippocampi ventre.

Ventrem Hippocampi si quis assum sumserit,
Rabiem, canum quam morsus affert, auferet:
Sed hunc caue coctum mero deglutias.
Namque illico comestus aluum succutit
Singultibus, tussique cum tremoribus,
Conuulsioneque cordis, atque corporis.
Quin & cerebrum infestat inflammatio,
Obliuioque, & clamor, & sopor grauis,
Hebesque visus, sed flagrans incendio,
Et narium liquore fluxus turgido,
Sitisque siccis æstuans in ossibus.
At fluxione permanente pauculum,
Corpus subinde sternuens disrumpitur.

lvii. De Mure araneo.

Mus quem vocant araneum (mirabile)
Quas plaustra duxerunt abhorret orbitis.
Torpore namque hærescit ipsis incidens,
Isticque non raro morans extinguitur.
At impetitis illius morsu, orbitis
Qui tollitur puluis, salutis auctor est.
Nam vulneris nullo leuat negotio,
Inspersus illi, protinus molestiam.

lviii. De Crocodilo.

Crocodilus ouorum parit aceruum: sed his

Ἀλγοῦσι νεφροῖς εὑρεθῆναι φάρμακον,
Ἧπαρ τε κάμνον ἐκ πυρᾶς ἀναψύχειν,
Καὶ φλεγμονῆς οἴδημα συστέλλειν ζέον.

Περὶ τῆς τοῦ ἱπποκάμπου γαστρός.

Λαβών τις ὠπτὴν ἱπποκάμπου γαστέρα,
Λύθλαν κυκῶν ἀπ' εἰς φθαρεῖσαν ἐξάγει.
Οἴνῳ δὲ συζέσασαν οὐκ αὖ ἐσθίοις.
Κυκᾷ γὰρ εὐθὺς ἡ τροφὴ τὴν γαστέρα.
Καὶ γίνεται λύγξ, εἶτα βήξ, εἶτα τρόμος,
Εἶτα σπαραγμὸς καὶ μελῶν καὶ καρδίας·
Καὶ πρὸς τὸν ἐγκέφαλον ἔτ' ὀργῶσα ζέσις,
Λήθη τε, καὶ μύκημα, καὶ βαρὺς κάρος,
Καὶ βλέμμα νωθρὸν, ἀλλὰ πῦρ σχεδὸν φέρον,
Ἀπ' ἐξ ὑγρῶν ῥινός τε παχυτέρων χύσις,
Καὶ δίψος ὡς φλὸξ ἐκπιέζον τὴν φύσιν.
Καὶ μετρίου δ' ἐν τοῖσδε ῥευμάλου χρόνου,
Πταρμῷ τιναχθὲν πᾶν τὸ σῶμα ῥήγνυται.

Περὶ μυγαλῆς.

Ἡ μυγαλὴ δέδοικεν ἐκτόπῳ φύσει
Γραμμὰς ἁμαξῶν ἐκ τροχῶν εἰργασμένας·
Ναρκᾷ γὰρ αὐταῖς ἐμπεσοῦσα, καὶ τρέμει,
Βραδύνουσα δ' αὐτοῦ καὶ τελευτᾷ πολλάκις.
Καὶ τοὺς ὑπ' αὐτῆς δυστυχῶς δεδηγμένους,
Ἐκεῖθεν ἀρθεὶς, ἐξιᾶται χοῦς μόνος·
Καὶ γὰρ τὸ λυποῦν εὐμαρῶς ὑπεξάγει,
Βραχὺς ἐπ' αὐτῆς τῆς τομῆς πεπασμένος.

Περὶ κροκοδείλου.

Ὠῶν δὲ σωρὸν ὁ κροκόδειλος μὲν κύει,

Μετὰ δέ γε τὴν ἔκλειψιν εὐθὺς τῶν τόκων,
Ἔγκεντρος ἐξέρπει τις αὐτῶν σκορπίος,
Ὑφ' οὗ τελευτᾷ πρὸς φθορὰν πεπληγμένος.

Περὶ δρακόντων Αἰθιοπικῶν, καὶ ἑτέρων διαφόρων θηρίων.

Δράκοντες Αἰθιόπων δέ τ', εἰ θηρᾶν δέοι,
Χαίνοντες ἀθμαίνουσιν εἰς τὸν ἀέρα,
Καὶ τῶν πετεινῶν τὰς κρεμαστὰς ἀγέλας,
Ἴυγξι θερμῆς εἰσπνοῆς κηλουμένας,
Καὶ σπωμένας ἄνωθεν εἰς γῆν ἀθρόας,
Ἐκ τῶν γνάθων ἕλκουσιν εἰς τὴν γαστέρα.
Θῆρας δὲ νυκτὸς ἐλλοχῶσι δυσμάχως,
Καὶ βοῦς τιθασοὺς, καὶ κριοὺς ἐξ αὐλίων,
Ὥσθ' ἄμαχον ἰσχὺν εὐτυχοῦντες, αὐτάναξ.
Τῷ δόνακι τυφθεὶς ὁ θρασὺς ἅπαξ ὄφις,
Κεῖται οἷα θανατῶν· ἂν δὲ τύψῃς πολλάκις,
Ὀργᾷ τε κατὰ σοῦ, καὶ προβάλλει τὸ στόμα,
Πρὸς ἀντιπαράταξιν τότ' ἠρεθισμένος.
Ὄφις δακὼν ἄνθρωπον, Αὐσονοκράτορ,
Αὖθις ὑπελθεῖν τοὺς μυχοὺς οὐκ ἰσχύει,
Τῆς γῆς ἄρ' ἀγαθὴν εἰσφερούσης τὴν δίκην.
Ἐᾷ γὰρ αὐτὸν ὡς φονευτὴν ἀγρότην,
Πικρῶς διαζῆν εἰς νομὰς ὑπαιθρίους.
Ὕστριξ δὲ τὰς ἄνωθεν ἐκπέμπει τρίχας,
Ἃς ἡ φύσις γ' ἔθηξε καὶ πρὸ τῆς μάχης.
Φρίξασα γὰρ τὰ νῶτα, βάλλει τοὺς πέλας,
Οἷον ἀπὸ νευρᾶς εὐτυχῶν τις τοξότης.
Τῆς ἀσπίδος τὸ δῆγμα, δῆγμ' ἐστὶ θανάτου.

Μὴ,

Poſt fœtuum perfecta quam eſt excluſio,
Prorepit armatus ſagitta ſcorpius:
A quo ictus ille concidit letaliter.

LIX. De Draconibus Æthiopicis, & aliis diuerſi generis beſtiis.

Dracones Æthiopum indigentes pabulo
Hiante captant ore flatus aeris,
Penniſque ſuſpenſos greges volantium,
Spirationis illecebris attrahunt,
Ducto ſuperne copioſo ad humum agmine,
Retrocito quos ſpiritu deglutiunt:
Noctuque beſtias feras irretiunt,
Boueſque manſuetos, gregiſque principes,
Freti ſuatum virium valentia.
Serpens arundinis iacet percuſſu iners,
Ceu mortuus: quod ſi frequens plagam inferas,
Attollit iras, ore cœrulo emicans,
Hoſtemque linguis impetit vibrantibus.
Hominem feris qui ſauciauit morſibus,
Cauos ſubire non poteſt ſerpens ſpecus,
Quod terra fontis exigit pœnas, mala
Contaminatum cæde, ſub Ioue frigido
Perferre cogens damna ſolitudinis.
Hyſtrix pilos ſurſum iacit, ceu ſpicula,
Natura quos acuit & ante prœlium.
Nam contrahens dorſum rigens, neruo velut
Intenſo in hoſtes tela torquet cominus.
Morſu quod aſpis dat, necem vulnus parit:

 Nene,

Ne ne, Galene, pharmacum mihi pares,
Pulsus refugit, vita iam iam deferit.
Tu profuturam pharmaci spondes opem:
Facesse, morsus est medela fortior.
Est albus, ô Hippocrates, serpens, caput,
Geritque cornibus superbus turgidum:
Qui, quem momordit, spiritum huic exterminat.
Quam morsibus paras opem letalibus?
Nulla (inquit) est: namque ad malum momentaneum,
Et quod semel cor occupauit influens,
Artis medentum nil facit solertia.
Sic ergo morbus sic tuorum dogmatum
Præscripta vincit traditorum inaniter?
Quid obstupescis hoc mali miraculo?
Seruator o cunctaris, & nectis moram?
Cum præsto sit serpentis aduersus malum,
Aut vinculum, aut ferrum, aut parare axungiam,
Aut pharmaci miscere calidi poculum,
At ipse vilem pulicis tentans opem,
(Pando medelam Pæoni non cognitam)
Illoque morsus vulneri imposito super,
Leuo dolorem, vimque morbi reprimo,
Mortisque diram extermino formidinem.
Est, Imperator, Indiæ serpens, sua
Qui palmum adæquat longitudine, at color
Conchyliatus in profundo cernitur,
Et verticis structura tota candicat,
Ac si recens hunc lacte mulso tinxeris,

Haud

Μὴ, μὴ, Γαληνὲ, μηδὲ φάρμακον χέῃς.
Ὁ σφυγμὸς ἐκλέλοιπεν, ὁ ζῶν ἐρρύη,
Καὶ σὺ γὰρ τὸ θαρρεῖν ὡς ὀνῆσον εἰς φέρεις;
Ἔα. τὸ δῆγμα κρεῖττον ἐστ' εὐτεχνίας.
Λευκός τις, Ἱπποκέρατης, ἐστ' ἀκριβῶς ὄφις,
Ἐπὶ κεφαλῆ γὰρ καμήλων κερασφόρῳ·
Δακὼν ὅσον ἄνδρα τῆς πνοῆς ἀπεξάγει.
Τί νῦν ἐπ' αὐτῷ δυσφοροῦντι πρακτέον;
Οὐκ οἶδα, φησί· πέρας γὰρ ἄχρονον πάθος,
Ὅγε καθάπαξ ἔρρευσεν εἰς τὴν καρδίαν,
Ἢ τῶν ἰατρῶν ἐκπεφαύλισται κρίσις.
Ἆρ' ἡ νόσος παρῆλθε καὶ τοὺς σοὺς ὅρους,
Τῶν ἄρ' ἀφορισμῶν εἰς κενὸν πεφρασμένων;
Τί τοῦτο; ναρκᾷς τὴν περίστασιν τρέμων.
Ὦ σῶτερ ὀκνεῖς, καὶ τριβὴν ζητεῖς χρόνου;
Παρὸν κατ' αὐτοῦ τὸ νομῆς τῆς ἐν βάθει,
Ἢ δεσμὸν, ἢ σίδηρον, ἢ στέαρ φέρειν,
Ἢ φαρμάκου γε κύλικα θερμοῦ τὴν κρᾶσιν.
Ἐγὼ δὲ λαβὼν εὐτελῆ ψύλλαν μόνην·
Ἀπόκρυφον γὰρ ἐκκαλύπτω νῦν λόγον·
Καὶ θεὶς ἐπ' αὐτῆς τῆς λαβῆς τοῦ δήγματος,
Λύω τὸ λυποῦν, καὶ κατείργω τὴν νόσον,
Καὶ τῆς τελευτῆς ἐξορίζω τὸν φόβον.
Ἔστιν παραί τις, ὦ κεράτις, Ἰνδοῖς ὄφις,
Ὧι σπιθαμιαῖον μῆκος, ἡ δέ γε χρόα
Δοκεῖ φέρειν ἔξαλμα πορφύρας βαθύ.
Καὶ πᾶσα λευκὴ τοῦ καρήατος ἡ πλάσις,
Οἷόνπερ ἁπαλοῦν καὶ νεόβλυτον γάλα.

Καὶ ζῶν μὲν αὐτὸς, ἐνδακεῖν οὐκ ἰσχύει·
Νωθὸς γὰρ ἐστὶ, καὶ ψιλὸν χνοῦν ἐσθίει·
Ἄλλως δὲ νυκτὸς, καὶ κρεμασθεὶς ἡμέρας,
Κατὰ μικρὸν οὕτως τὴν πνοὴν τ' ἀποκλείων,
Ἰχῶρα τοῦ στόματος ἄπ' ὑγρὸν ἐκπλύει,
Καὶ πήγνυται τὸ ῥεῦσαν εἰς εἶδος μέλαν.
Ἄλλας δὲ νεκρὸς αὖθις ἐγχεῖ λιβάδας,
Αἳ δακρύων ἔχουσιν ἀρκεύθου χρόαν.
Καὶ τῶνδε, βασιλεῦ, καὶ σταγὼν δήπου μία,
Νεκρὸν παρευθὺς τὸν πιόντα δεικνύει.
Ὁ μὲν γὰρ ἐγκέφαλος πότ' οὐκ ἔχων βάσιν,
Ἐκ τῶν ἀγωγῶν τῆς ῥινὸς διαῤῥέει.
Τὸ σύντονον δὲ τῆς φθορᾶς, τῶν ὀμμάτων
Πυκναῖς τὸ ληφθὲν ἐκτροπαῖς διαστρέφει,
Σπασμόν τε ποιεῖ, καὶ θρασύδειλον τρόμον,
Καὶ δακρύων ἄκλαυστον ἐκεῖθεν χύσιν.
Τὸ περίδρομον χνοῦ καὶ βαφῆς αὐτοῦ μέλαν,
Ἀκμὰς ὀδυνῶν, καὶ χρονίζουσαν φθόην,
Καὶ κνησμόν τε, καὶ βῆχα, καὶ θερμὸν κάρον,
Καὶ καρδίας βρύχοντα παλμὸν εἰσφέρει.
Πατῶν δὲ τις χέρσυδρον οὐκέτι πνέει.
Κἂν ἄλλος εὐθὺς τοῦ παρελθόντος θίγοι,
Τοῖς δακτύλοις, κράτιστε, φλυκταίνας φύει.
Ὄφις δέ τις δύσθυμος ἐκ γῆς Ἀῤῥάβων,
Κτείνει φονευθεὶς τὸν φονευτὴν ὀξέως·
Πλὴν ἐν συνελιγμοῖς, καὶ πνοῆς διεξόδοις,
Ὑφ' ὧν διαῤῥεῖ καὶ χιτὼν καὶ σαρκίον.
Νωθὸς γάρ ἐστι, καὶ παίεται μετρίως.

Ἀλλ'

Haud ille viuus quempiam momorderit,
Edentulus, pastuque viuens pulueris:
Sed nocte captum si quis hunc interdiu
Suspendat, emisso subinde anhelitu,
Eructat ore sanguinis simul serum,
Coagulum quod in nigrum tandem coit.
Defunctus idem guttulas stillat alias,
Quæ lacrymas præ se ferunt iuniperinas:
Quarum vnicam, o Rex, si quis hauserit bibens,
Perenne potat ilicet silentium.
Tunc namque vis omnis cerebri languida,
Per narium cauos meatus diffluit:
Malique vis intenta, luminum quod est
Hinc relliquum, diuortiis peruersum agit:
Cietque spasmum, audaciamque cum metu,
Et absque fletu lacrymarum flumina.
Quod autem initio profluit per se nigrum,
Auget dolores, & facit tabescere,
Tussimque calido cum caro, & prurigine,
Cordisque palpitationem procreat.
Qui Chersydrum conculcat, extemplo perit.
Quod si quis ausit admouere dexteram
Læso, repente pustulis expullulat.
Ignauus est serpens Arabibus, illico
Qui mortis auctorem vicissim interficit
Vel sibilis, vel spiritus afflatibus:
Quibus & amictus & caro diffunditur.
Nam dente caret, nec ictibus nimis nocet.

Est

Est flumen, Indus nomine, haud ignobile,
Purpureus in quo legitur, vt ferunt, lapis,
Serpentium fugans genus suffitibus:
Ceu rosmarinus, atque calamintha foliis;
Densæque viticis liquor salutifer.
Humore qui perfusus ignes concipit,
Idemque ventilatus æstum reprimit,
Fumique nidorem dat incensus grauem,
Grauidæque labefactat onus alui feminis,
Sanatque damna morsuum facillime.
In flumine Indo nascitur septicubitus
Vermis, figuram præferens teredinis,
Qui dentibus binis, gerit quos vnicos,
Animalque, lignumque, lapidemque conterit.
Laterque flumine abditus: sed si bibat
Ripis camelus, torridusve sole bos,
Iumenta subrepens profundo corripit.
Hunc si quis ad solem in caput suspenderit,
Aduersus hostes colliget flammam humidam.
Incendii sator ille namque mortuus,
Ceu succinum, de naribus stillat adipem.
Cuius rigata guttulis ligna, illico
Ardent vt igni: quin & hic muros liquor
Perrumpit ictu fulminis potentius.
His & liquoris Indiæ rex ignibus,
Absumit vrbes arduas incendio,
Tributa prorsus quæ recusant pendere.
Districtus ictu si quis est phalangii,

Ἀλλ᾽ εἰς τὸν Ἰνδὸν τὸν ποταμὸν ἐκεῖ μέγαν,
Ἔστι τὶς, ὡς λέγουσι, πορφυροῦς λίθος,
Ὃς ἐκδιώκει τοὺς ὄφεις αὐτοῦ φύσει,
Ὡς λιβανωτὶς, ἡ δὲ καλαμίνθη χλόη,
Καὶ πυκνόφυλλος ἄγνος ἐψεκασμένος.
Καὶ γίνεται πῦρ εἰς χυθεῖσαν ἰκμάδα.
Ῥιπίζεται δὲ, καὶ τὸ θερμὸν ἀμβλύνει,
Δριμὺν τε καπνὸν πυρπολούμενος βρύει.
Καὶ ταῖς γυναιξὶν ἀδρανῆ δρᾷ τὰ βρέφη,
Καὶ δεῖγμα δεινὸν ἀμαυρῶς ἀνατρέπει.
Πλὴν εἰς τὸν Ἰνδὸν τίκτεται σκώληξ μόνος,
Ὃς ἐστιν ἑπτάπηχυς εἰς ἧττον πάχος·
Ζῶον δὲ πᾶν, καὶ ξύλον, ἀλλὰ καὶ λίθον,
Ὀδοῦσι δυσὶν, αὐτονάρχας, συντρίβει.
Καὶ κρύπτεται μὲν, εἰ δὲ ταῖς ὄχθαις πίνοι
Κάμηλος, ἢ βοῦς, ἐμφρυγεῖσα τῷ πνίγει,
Ἥρπασε δὴ τὸ κτῆνος ὑπανερπύσας.
Τοῦτον δέ τις κύμβαχον ἐξάψας βρόχον,
Ὑγρὰν κατ᾽ ἐχθρῶν εὐτυχῶν ἔγνω φλόγα.
Καὶ γὰρ ὁ νεκρὸς ἀνθρακοῦς ἢ πυρφόρος
Ἠλεκτροειδὲς ἐκ ῥινὸς λείβει στέαρ·
Οὗ καὶ σταλαγμὸς ἐγχυθεὶς ἐπὶ ξύλων,
Ἔφλεξεν ὡς πῦρ, εἰς δὲ τεῖχος ἐκ λίθων,
Ὀξὺς κεραυνὸς, καὶ νεφῶν πλὴν εὑρέθη.
Τούτῳ δὲ, βασιλεῦ, τῷ πυρὶ τῆς ἰκμάδος,
Ἰνδῶν βασιλέες πυρπολοῦσι τὰς πόλεις,
Αἳ μηδ᾽ ὅλως εἴκουσι δασμοὺς εἰσφέρειν.
Δεδηγμένος δέ πού τις ἐκ φαλαγγίου,

Ναρκᾷ

Ναρκᾷ τε βασιλεὺ, καὶ κλονεῖται, καὶ τρέμει·
Καὶ ψύχεται μὲν τῶν μελῶν τὰς ἀκείδας,
Συστέλλεται δὲ τῶν φλεβῶν ἡ θερμότης.
Εμεῖ δὲ χυμοὺς, ἀλλὰ καὶ σπᾶται βρύχων·
Ἔπειτα δὲ παθὼν ἰσχυρὰν ὠταλγίαν,
Ορθοῖ τὸν αὐλὸν τῆς ψυγείσης ἰκμάδος.
Τούτου δὲ πᾶς ἄδηκτος εἰ μόνον θίγοι,
Πάντων μετασχὼν τῶν παθῶν ἀπερρέει.
Ἔστιν δὲ καὶ ῥὰξ ἐκ γενῆς φαλαγγίων,
Ῥαγὶ σταφυλῆς ἐμφερὴς, καὶ μικρόπους·
Κτείνει δὲ γοργῶς, Αὐσοναρχα, τοὺς πέλας,
Πλήττουσα τῷ στόματί γε γαστρὸς ἐκ μέσης.

Περὶ ἀραχνῶν.

Εὐμήχανος δὲ τῶν ἀραχνῶν ἡ φύσις,
Καὶ παρθένους νικῶσα λεπτοδακτύλους·
Τὰς γὰρ ἀπαγεῖς αὐτ᾽ ἰκμάδας τῶν ἐγκάτων,
Ὥσπερ μίτους νήθουσι κερκίδος δίχα.
Κύκλους συνείροντες δὲ τοὺς ἀλληλενδέτους,
Τὰς ἀντιλήψεις ὀργανοῦσιν ἐντόμους.
Βρόχοισι παχυτέροις δὲ τοὺς κύκλους τισὶν
Εἰς ἀέρα κρεμοῦσιν, οὐκ οἶδα ὁπόθεν.
Ἀφίσταται γὰρ πᾶσα τοῦ μέσου βάσις,
Τῷδε φιλοτεχνήματί γε συντεθειμένη·
Καὶ κλέπτεται μὲν ἡ λαβὴ τῶν κλωσμάτων·
Ὑπαίθερος γὰρ ἡ τοσαύτη λεπτότης·
Στηρίζεται δὲ τῆς ὑφῆς ἡ πυκνότης,
Εἰς τὰς δεξιὰς τοῦ κενοῦ περικλάσεις.
Μύαις δὲ, καὶ κώνωψι, καὶ κρυψιπτέροις,

Εντετα-

Torpet, tremitque corporis ſuccuſſibus,
Extrema membrorum occupante frigore,
Calorque venarum ſimul refunditur,
Et vomitiones excipit conuulſio,
Et acer aures occupat poſt hæc dolor,
Et inquietus inguen arrigit tumor.
Quod ſi quis illæſus manum det ſaucio,
Fit illius ſtatim dolorum particeps.
Phalangiorum Rhax ſatus propagine,
Acino eſt ſimilis vuæ, pedeſque habet breues:
Occidit autem proximos celerrime,
Ore impetens, quod ventre ſub medio eſt ſitum.

lx. De Araneis.

Araneis natura perquam induſtria eſt,
Vincens puellarum manus argutias.
Nam ventris humores ſuperuacaneos
Ceu fila nent, textoris abſque pectine.
Et implicantes orbium volumina,
Aduerſa ſublegunt iis ſubtegmina.
Sed liciis hinc denſioribus plagas,
In aere appendunt, nec vnde conſpicor,
Seiuncta cum ſit omnis a medio baſis,
Quæ fulciat mirabilem operis fabricam.
Et ſtaminum fallit ligamen lumina,
Subtilitatis ſub dio diſcrimine.
Firmatur autem denſitas ſubtegminis,
Raras in ambientis oras aeris.
Muſcis, culicibus, & id genus volantibus,

Intensa nectens fraudulenter retia,
Quod incidit, ieiuna pascit hoc famem,
Vitamque degit haud quietis indigam.
Suspensa centro, cassibusque prouidens,
Ne fila rumpat, orbiumque dissuat
Nexus retortes flaminis vis irruens.
At viperarum more, matricida fit
Partu, doloris non ferens molestiam.

l x i. De Muribus Indicis.

O Imperator, si quis, Indus caunacas
Sermonis vsu patrii quos nuncupat,
Mucrone grauidam tentet aluum murium,
Mox palpitantem viscera intra repperit
Fœtum, hocque dissecto inuenit rursus alium,
Satum propinqui seminis ceu germine.

l x ii. De Bobus retrouersus pascentibus.

Indum rogabam decolorem, ex Africa
Solis sita sub ignibus, qui venerat:
Dic eia, quî gramen retro tondent boues
Istic, apricis congregari in saltibus?
Quia (inquit) ante quæ pedes sunt, haud vident,
Quod latitudo cornuum incumbens super,
Antica non permittat ipsos cernere.

l x iii. De Vipera.

Circumplicatus compari mas vipera,
Postquam peregit nuptias suauissimas,
Dira peremtus cæde coniugis iacet.
Namque vxor iram clam tenens, amplexibus

In mu-

Ἐντεταμένον θἤτερον ἀράχνης φέρων,
Ἐκ τοῦ παρεμπίπτοντος ἁπλῶς ἐσθίει.
Καὶ ζῇ κρεμαστὸν καὶ φιλήσυχον βίον,
Τὸ κέντρον εἰκῶν, καὶ σκοπῶν τὸ δίκτυον,
Μὴ νῆμα ῥαγῇ, καὶ τὰ κύκλῳ συμπέσῃ,
Πνοῆς παρολκῆς ἐκλυθέντα συντόνοις.
Ἐξ ὠδίνων δὲ γίγνεται μητροκτόνος,
Τοὺς τῆς ἐχιδνῶν ἐκμιμούμενος τόκους.

Περὶ μυῶν Ἰνδικῶν.

Ἐκ τῶν μυῶν, κράτιστε, τῶν καναστάνων,
Οὕτω γὰρ ἐκ φάρυγγος Ἰνδὸς ἂν λέγοι,
Κύουσαν εἰ τέμοι τις εἰς τὴν γαστέρα,
Εὑρίσκεται ζῶν καὶ σφαδάζον τὸ βρέφος.
Ῥαγὲν δὲ τοῦτο, δείκνυσιν ἄλλο βρέφος
Ὡς ἐκ τοῦ παρασπέρματος ὠργανωμένον.

Περὶ ὀπισθονόμων βοῶν.

Ἰνδόν τινα, βασιλεῦ, μελάγχρουν ἠρόμην,
Ἐκ Λιβύης ἥκοντα τῆς παρηλίου,
Πῶς τὴν πόαν κείρουσιν ἐξ ὀπισθίου,
Βόες παρ᾿ ὑμῖν εἰς νομὰς ἠθροισμένοι;
Ἐπεί γε, φησίν, οὐχ ὁρῶσι τὰ πρόσω.
Τὸ γὰρ πλάτος κεράτων ὕπερθεν ἐγκείμενον,
Τῆς ὄψεως τὴν δύναμιν αὐτοῖς ἀμβλύνει.

Περὶ ἔχεως.

Ἔχις δὲ θερμὸς προσπλακεὶς τῇ συζύγῳ,
Καὶ τὸν τέως ἥδιστον ἀρ᾿ ἀνύσας γάμον,
Κεῖται φονευθεὶς ὑπὸ τῆς ἐραστρίας·
Τούτου σὺν ὀργῇ λανθανόντως ἐχομένης,

Σοβαρόν τ' ἐκεῖνον ἐκπεμψάσης αὐχένα.
Πλὴν ἀλλ' ὁ μὲν τέθνηκεν, ἡ δὲ νῦν κύει.
Μετὰ δὲ μικρόν τιν' αὐτὰ τὰ βρέφη χρόνον,
Τὴν μητρικὴν ῥήξαντα νηδὺν ἐξέδυ.
Μὴ γοῦν τετιμώρηκε τῷ φυτοσπόρῳ;
Ἔχις δὲ καὶ μύραινα συνδιάζεται·
Ὁ μὲν πρὸς αὐτὴν τῆς ὀπῆς ἐξερπύσας,
Ἡ δὲ πρὸς αὐτὸν ἐκ ῥοῆς ἀνηγμένη.
Καὶ πρὶν δὲ, βασιλεῦ, συνδραμεῖν εἰς τὸν γάμον,
Ἐμεῖ τὸν ἰὸν ὡς γλυκὺς ὁ νυμφίος,
Καὶ τοῦ συριγμοῦ τῆς ἴυγξιν αὐτίκα
Παρακαλεῖ πρός γε λέκτρα τὴν ἐρωμένην·
Καὶ τοῦ παρ' ἀμφοῖν συντελεσθέντος γάμου,
Ὁ μὲν, τὸν ἰὸν αὖθις ἀνιμήσατο,
Ἡ δὲ κατὰ τῆς γῆς θᾶττον ἑρπύσας ἔδυ,
Ἡ δὲ πρὸς ὑγρὰς ἀπενήξατο τρίβους.

Περί τινων μεγάλων ἰχθύων.

Πρηστὶς, κριὸς, ζύγαινα, πάρδαλις, λέων,
Καὶ φύσαλος, κητῶν μέγιστος εὑρέθη.
Εἶτ' ἦν δὲ νωθρὰ τῷ φέρειν ὄγκον βαρύν·
Καὶ φωτὸς ἰθύνοντος ἐστερημένα,
Ἡγουμένους ἔχουσιν ἰχθῦς τῶν τρίβων·
Ἅτε κατόπιν τέμνοντα τὸν ῥοῦν τὸν μέγαν·
Παραστέται γὰρ τοῖς πτεροῖς τῶν συννόμων,
Ἡ δ' οὖν πρόσω κυμαλος ἄρ' ἀντιτυπία.
Χαίνουσι, καὶ λάπτουσι καθάπερ οἱ κύνες.
Ὡς ἂν τὸν ἑσμὸν ἐκροφῇ τῶν ἰχθύων,
Καὶ τὴν παρεμπίπτουσαν ἀφθόνως ὕλην.

Τούτων

In mutuis morsu viri caput occupat.
Illoque prægnans ipsa fit demortuo.
Sed paululum post fœtus adolescens
morae,
Materna rumpit exiturus viscera,
Letum satoris ecquid vltus forriter?
Muræna amore & vipera ardent mutuo,
Hæc ex latebris ad puellam prodiens,
At illa fluminis relinquens alueum.
Sed ante iungant quam vicissim gaudia,
Sponsus venenum vomitione reiicit,
Ac illicis canore sibili, vocat
Iugalis ad lecti cupitam munera.
Ambobus expletisque post libidine,
Virus resorbet vipera quod eiecerat,
Subitque terræ protinus cauernulas,
At humidas muræna tranat semitas.

lxiv. De quibusdam magnis Piscibus.

Prestis, aries, zygæna, pardalis, leo,
Interque cetos physalus grandissimus,
Cum mole vasti sunt inertes corporis:
Cursumque dirigente cassi lumine,
Pisces per æquor præuios habent sibi.
Qui fluctuum retro secantes impetum,
(Aduersa pinnis namque pars consortium
Pulsatur ingruentis vndæ cominus)
Hiant, canumque more lambunt, piscium,
Vt glutiant examen, & quod affatim
Immane victus in barathrum proruit,

Horum vel vnus, vt Theophrastus refert,
Surſum profundo ſi feratur gurgite,
Heu quanta ſurgit fluctuum vis eminus,
Tellurem aquarum montibus cooperiens.

lxv. De Delphine, cum inſertione de Leone.

Delphinus ille piſcis obuiam ruens
Nautis ſecundo hos prouehit ſpiramine,
Adremigansque ouat ratem præmittere.
Auramque nauibus ſecundam nunciat;
Cum deflui fluctus ſupina aſpergine,
Gratam ſuis ſpumam ciet tripudiis.
Nec ſiſtit vllo motionem tempore,
Nec cum ſoporis grata carpit munera.
Tunc namque ſublatus profundi gurgite,
Prono per æquor ore ſummum ſterni-
tur,
Ipſumque mole deprimente corporis,
Expergefactus ad ſolum appulſu, maris
Ad ſummitatem emergit imo tramite.
Leo ſeneſcens ſimiam ſi deuoret,
Non hac Galeni malit auxilium ſibi,
Ætate pollens & vigore, hoc pharmaco.
Delphinus ægrotans marinæ ſimiæ
Paſtu medetur ſanitati perditæ.
Et cum gemellos nixibus det femina
Delphis, propagatura ſtirpem ſangui-
nis,
Amore natos intimo complectitur.
Nam præit illis in periculi metu,
Dum quæ ſalutem pandat afflictis via.

Τούτων δὲ καὶ ἓν, ὡς Θεόφραστος λέγει,
Ἐναρραγῇ πρὸς ὕψος ἐκ τοῦ πυθμένος,
Παπαὶ κλύδων πόρρωθεν, οὐκ ὄντος γνόφου,
Καὶ χέρσους ὑγρὰ, καὶ κινουμένης λόφος.

Περὶ Δελφῖνος, μετὰ παρενθήκης περὶ λέοντος.

Ἰχθὺς ὁ δελφὶς, ἀλλ' ἐὰν ἴδοι ναυτίλους,
Σκιρτᾷ πρὸς αὐτοὺς, καὶ ἀφυσῶν ἀσμένως,
Καὶ συμπαρασπλεῖ, καὶ προπέμπει τὸ σκάφος.
Αὔραν δὲ τῷ πλῷ σωστικὴν προμηνύει,
Καὶ μετρίου δὲ κύματος ὑπτίαν χύσιν,
Ἥδιστον ἀφρὸν ἐκδιδοὺς τῶν ἁλμάτων.
Ἔχων δὲ τὴν κίνησιν εἰς πάντα χρόνον,
Εἰ δή τι μικρὸν καὶ καθεύδει τὴν φύσιν,
Ὅλος εὐθὺς ἀναδὺς ἐξ ἀδήλου πυθμένος,
Κεῖται καθ' ὑγρῶν ἐκταθεὶς ἐπὶ στόμα.
Καὶ τοῦ βάρους ἄνωθεν ὁρμῶντος κάτω,
Κρουσθεὶς ὑπ' αὐτοῦ γε καθ' ἅπαξ τοῦ δαπέδου,
Ἀνατρέχει πρὸς ὕψος ἐκ βάθους πάλιν.
Λέων μὲν αὖ πίθηκον εἰ γηρῶν φάγοι,
Πρὸ τοῦ Γαληνοῦ δεξιοῦται τὴν φύσιν.
Καὶ γὰρ ἀνηβᾷ καὶ σφριγᾷ τῷ φαρμάκῳ.
Καμὼν δὲ δελφὶς ἐξορίζει τὴν νόσον,
Ὅταν φάγοι πίθηκον ἰχθὺν ἀφθόνως.
Τοκὰς δὲ δοιοῖν εὑρεθεῖσα φιλτάτοιν,
Ἡ δελφὶς ἡ θήλεια, τοῦ γένους χάριν,
Ἔδειξε τὴν φύσιν φιλόστοργον πάνυ.
Προέρχεται γὰρ ἐν μεγίστοις κινδύνοις,
Ἕως ἂν ᾖ γε δύναμις αὐτοὺς ἐξάγειν.

Παρὸν βιοῦν δ' ἔτ' εἰς νομὰς ἀκινδύνους,
Ἡ δ' εὐθὺς ἀνήρητο σὺν τῷ νηπίῳ,
Εἴ τις ἁλιεὺς ἤτοι τομὸν ῥίψας βέλος,
Ἢ τρίχα πλεκτὴν, ἢ νενησμένον βρόχον,
Ἀνεῖλεν αὐτὼ γειτνιῶν τῇ πορθμίδι.
Τρέφει δὲ καὶ γάλακτι λευκῷ τοὺς τόκους,
Προθεῖσα μαζοὺς ὡς λεχὼ παιδοτρόφος.
Δελφὶς δὲ ληφθεὶς ἐντελὴς τῷ δικτύῳ,
Τέως μὲν ἡσύχασε τὴν τύχην φέρων,
Καὶ τοὺς παρεμπίπτοντας ἰχθῦς ἐσθίων·
Ἐπεὶ δὲ τῆς γῆς ἤσθετο ψαύσας μόνον,
Τὸν κύρτον εὐθὺς ἐκτεμὼν ἀπηλλάγη.
Αὐλοῦ τυχὼν δὲ, καὶ στερηθεὶς βραγχίων,
Ἔμεινε παντὸς ἁλυκώτερος γένους.
Πνοῆς γὰρ ὁλκὴν ἐνταθεῖσαν τοῖς πόροις,
Παρακρατῶν καθάπερ ἀνήρ γε τοξότης,
Τινάσσεται μὲν, ὡς ὑπόπτερον βέλος·
Ὑπεράλλεται δὲ πλωΐμου παντὸς σκάφους.
Ἡδὲ φιλόμουσός ἐστιν ἡ τούτων φύσις,
Καὶ θέλγεται μὲν εἴ ποτ' ἂν ἀκούσῃ λύρας,
Βδελύττεται δὲ τοὺς κενοὺς αὖθις κτύπους.
Προνήχεται δὲ τῶν κατ' αὐτοὺς ταγμάτων
Ὁ τῶν νέων ὅμιλος, αἱ δὲ μητέρες,
Ἑξῆς μετ' αὐτούς. ταῖς δὲ θηλυτέραις πάρα
Ἴδοι τις αὖ φάλαγγα πυκνὴν ἀρρένων,
Φρουρῶν, ὀπαδῶν, οὐραγῶν, ὑπερμάχων.

Περὶ τρώκτου.

Τρώκτης δὲ χαλκοῦ, βασιλεῦ, πολυστόμου

Σοφαῖς,

Cumque ipsa possit aleam extra degere
Discriminis, cum filio capitur lubens,
Si forte iactu sauciantis fuscinæ
Piscator, aut reti, aut retortis funibus,
Comprendit ambos applicans nauem freto.
Nutritque fœtus lacte, præbens vbera
Lactantis infantem in modum puerperæ.
In retia actus fert quiescens paullulum
Delphinus aduersas procellas casuum,
Ac piscium incidentium esu pascitur:
Sed litus vbi se contigisse percipit,
Ruptis sagenæ vinculis elabitur.
At fistulam gerens, carensque branchiis,
Genus animantium omne vincit saltibus.
Poris represso namque flatu spiritus,
Vibrat per vndas corpus, vt sagittifer
Impellit incuruis sagittam cornibus,
Malosque saltu nauium superuolat.
Et Musicæ est natura amans, & dulcibus
Mulcetur inprimis lyræ concentibus,
Vanosque abhorret audiens vocis sonos.
Viam per vndas cum secant, his prænatat
Iuuenum manus, sequente matrum cominus
Turba, virumque feminas cernas prope
Turmam subire præsidum, satellitum,
Ducumque qui claudunt agmen nouissimum.

lxvi. De Trocta.

Hami, Imperator, Trocta se curuamine

Subducit,artis singulari machina,
Vnci in aciem sursum ruens ad lineam.
Quod si molestum æs expuens reiecerir,
Voti ecce compos arripit cursu fugam:
Sin fallat ausus,lineam morsu occupat,
Re comprobans nomen, quod habet a vulnere.
Sin funium nexus nequit presćindere,
Quos tortuosa colligant volumina,
Motu valens ad impetum conuertitur:
Pollere saltu namque fertur concito:
Aes donec adrasum, excidensque, liberet
Piscem prehensum, sectione lineæ.
Sui coacta multitudine agminis
Troctæ,ruunt in segregatum a proximis
Delphinem, cumque morsibus, ritu canum
Hinc inde adorti,dentibus conuellicant.
At ille discerptus repugnat acriter,
Secumque tollens helluones pendulos,
Currus suis est hostibus miserabilis.
Dirimente tandem prœlium sed tempore,
Hi se quietis gratia retro ferunt,
Delphinque conuiuis relictis, propriis
Quos pauit ipse carnibus famelicos,
Discedit haud lætus dolore vulnerum.

LXVII. De Scaris.

Quis incidentes in sagenæ vincula
Videns scaros, amoris œstro percitos,
Conspexerint si feminam captam mares,

Cum

Σοφαῖς ἑαυτοῦ μηχαναῖς ὑπεξάγει·
Ἐπεί γ' ἀνωθεῖ τὴν βολὴν πρὸς τὸν βρόχον.
Καὶ μὲν τὸ λυποῦν δυσχερῶς ἀποπλύσῃ,
Ἰδοὺ νικητής, καὶ δρομεὺς, καὶ γυμνάδας.
Εἰ δ' οὖν, διασπᾷ τοῖς ὀδοῦσι τὴν τρίχα·
Καὶ γὰρ ἔχει τὴν κλῆσιν ἐκ τῶν τραυμάτων.
Εἰ δ' οὐκ ἐφικτὸν ἐκτεμεῖν τὸ σπουδέον,
Τοῖς αὐθελιγμοῖς τῆς πλοκῆς ἐσφιγμένον,
Χωρεῖ πρὸς ὁρμὰς ἀκρατῶς πυκτρίας·
Φασὶ γὰρ αὐτὸν ἀλκίμην ἔχειν φύσιν·
Ἕως ὁ χαλκὸς εἰς κενὸν διεκπέσῃ,
Τομῇ τοῦ ἰχθύου δυστελεῖ παραξέσας.
Τρώκταις δὲ συχνοῖς δυσφυῶς ἠθροισμένοις,
Τράπεζα δελφὶς ἐκραγεὶς τῶν συννόμων.
Εὐθὺς γὰρ αὐτῷ συμπεσόντες ὡς κύνες,
Ἐνῆψαν ἀπρὶξ εἰς τὸ σῶμα τὰς γένυς.
Ὁ δὲ σπαραχθεὶς ταῖς τομαῖς ἀνερράγη,
Καὶ δίφρος οἰκτρὸς ἐξ ἀνάγκης εὑρέθη,
Λῃστὰς κρεμαστοὺς τῆς τροφῆς συνεξάρας.
Τοῦ δὲ χρόνου λύσαντος ὀψὲ τὴν μάχην,
Οἱ μὲν πάλιν γ' ᾤχοντο ῥᾳστώνης χάριν·
Ὁ θὴρ φυγὼν δὲ τοὺς διώκτας ἀσμένως,
Οὓς αὐτὸς εἱστίασεν ἐκ τῶν σαρκίων,
Πρὸς τὴν ἑαυτοῦ συμφορὰν ἀπηλλάγη.

Περὶ σκάρων.

Τίς δέ τ' ἀγεληδὸν συμπεσόντας τοὺς σκάρους
Εἰς πλεκτὸν ἀμφίβληστρον ἐξ οἴστρου βλέπων,
Θήλειαν ὅτ' ἴδωσ' ἄλουσαν ἄρρενες σκάρον,

Ἐξάρ

Ἐξὸν παρελθεῖν ἑρμιᾶς μιᾶς δόλον,
Οὐχ εὗρε τοῦ ζῆν ἐγκρατῶς διδασκάλους;
Ἥδυς ἔρως ὧν ἐκπυροῖ τὴν καρδίαν,
Εἰς τὰς ἐν ἀκμῇ φλεγμονὰς τοῦ σαρκίου.
Τὸ σύννομον πλὴν ἂν ἀλοὺς ἴσως μάθοι,
Παρακρατοῦσιν εἰσρυέντες ἀθρόοι.
Καὶ πολλάκις γ᾽ ἀφῆκαν αὐτοὶ τὸν φίλον,
Ὀδοῦσι πυκνοῖς ἐκτραγόντες τὸν βρόχον,
Καθάπερ καὶ αὐτοὺς ἱστορεῖ τοὺς ἀνθίας,
Ἀνὴρ ἰδὼν τις τὰς νομὰς τῶν ἰχθύων.

Περὶ κεφάλου.

Ποῖος δὲ τὸν κέφαλον δὲ ἰχθὺν, αὐθάναξ,
Ἔνσπονδον εὑρὼν εἰς τὸ σύννομον γένος,
Ἐξ οὗπερ οὐδὲν οὐδὲ φαῦλον ἂν φάγῃ,
Εἰ μὴ σεσηπὸς καὶ προκείμενον τύχοι,
Γαστρὸς πονηρᾶς οὐ κρατεῖν ἐκμανθάνει;
Σιτούμενος γὰρ τὴν διάβροχον πόαν,
Ἀρκοῦν ἔχει τὸ δεῖπνον ἐκ τῶν εἰκότων.

Περὶ γλαύκου.

Ὁ γλαῦκος ἰχθὺς, ὡς πατὴρ παιδοτρόφος,
Ὅταν περὶ τὴν νῆξιν ἀρρωδοῦν ἴδοι,
Ῥοφεῖ γε χανδὸν ἐκ φυγῆς τὸ σκυμνίον,
Καὶ τοῦ δέους λήξαντος, ἀνεμεῖ πάλιν.
Τὸ δὲ, περιελθὸν τῆς πυρᾶς τῶν ἐγκάτων,
Ἐκ παραγωγῆς δυσπραγεῖ ζῶν ἀπόρου.

Περὶ κυνός.

Κύων δὲ τὸν σκύλακα παρεόντος δέους,
Ἐξ αἰσχύνης ἀνεῖλεν εἰς τὴν γαστέρα.

Πάλιν

Cum præterire lineæ possint dolos,
Hos continentiæ magistros non habet?
Quorum libido blandiens cor ustulat
Ætatis in vigore, carnis æstibus.
Gregalium si forte quem captum vident,
Consortium denso genus adest agmine,
Nec tato amicum liberant ab hostibus
Admorsione queis tenetur funium.
Quod Anthias facere similiter, prodidit
Qui piscium instituta cognouit probe.

lxviii. De Capitone.

Nam quis, quis, o rex, piscium, Cephalum, in genus
Amoris intuens colentem fœdera,
Quorum nec abiectum quidem comederit,
Nisi putridum, vitæque cassum lumine,
Ventri imperare non didicerit prodigo?
Satur palustri graminis nam pabulo,
Haud lautius requirit illo prandium.

lxix. De Glauco.

Glaucus timore percitum quem viderit
Inter natandum, ceu parens natos alens,
Absorbet ore catulum hiante, dum fugit;
Metuque desinente rursus euomit.
Quem prodeuntem Solis in lucem, parit
Expers fecunda seminis productio.

lxx. De Cane.

Canis marinus, cum quis imminet metus,
Recipit in aluum per pudenda paruulum.

Qui

Qui deinde rursus editus, postquam exuit
Formidinem, genus ad propinquorum
natat.
Alit canes, galeumque, centrinemque, aqua
Fecunda ponti; alitque spelęum simul,
Quibus caput, caudæque medium, cernitur
Hamis acuti armatum vtrinque spiculi.
Quod si quis horum, in cassium incidat
plagas,
Vitale lumen cogitur relinquere.
At ceteri spe prędæ amicæ feruidi,
Dolum frequentes aduolant ad inscium.
Quos retibus piscator implicitos trahens,
Canum reportat diuites in cymba opes.

lxxi. De Melanuris.

Ferunt Melanuros, genus timidissimum,
Cum temperatis vnda ponit fluctibus,
Vt rite declinent dolos venantium,
Vitamque lucrentur, profundo se abdere:
At cum tumescit æquor Euris concitum,
Legitque vela piscator madentia,
Labi per vndas ceu natantes subere,
Haud esculenta respuentes sordida.

lxxii. De Spongia.

Est æquoris fœtura mira, spongiam
Quam nauitarum filii, Rex, nuncupant:
Animæ haud quidem expers illa, sed nec sanguinis:
Et rara cum sit, perforataque fistulis,
Petræ recondens sustinet se tegmine,
Ne fluctuum vis ingruens hanc auferat.

Quod

Πάλιν δέ τ' αὐτὰς ἀνατεχθεὶς ἐκμητρόθεν,
Ἐνήξατο ζῶν εἰς τὸ συνώνυμον γένος.
Τρέφει κυνάς, γαλεόν τε, κεντρίνην θ' ἅμα,
Ὁμοῦ δὲ καὶ πηλαῖον ἡ θάλαττά σοι.
Οἷς τήν τε κεφαλήν, καὶ τὸ τοῦ κέρκου μέσον,
Ἐν ἑκατέραις ὥπλισεν αἰχμαῖς ἡ φύσις.
Ἀλλ' εἷς μὲν αὐτῶν ἐμπεσὼν τῷ δικτύῳ,
Πρὸς τὴν πλου τὴν ἐκβιάζεται τρέχειν·
Οἱ δὲ τροφὴν δοκοῦντες εὑρεῖν τοῦ φίλου,
Χωροῦσι κοινῇ πρὸς τὸν ἄγνωστον δόλον·
Ὃν ὁ στοχαστὴς δικτύοις ἐξελκύσας,
Ὅλβον κυνικὸν ἐπισυγκομίζει τῷ σκάφει.

Περὶ μελανούρων.

Φασὶν τὸ δειλὸν τῶν μελανούρων γένος,
Ὅταν μὲν ἡ θάλαττα σωφρόνως ἔχῃ,
Θηρατικοὺς μὲν εὐφυῶς φεύγειν δόλους,
Ὡς ψυχοκερδῆ τὸν βυθὸν διατρέχειν·
Ὅταν δὲ χειμὼν εἰς τὸ ῥεῖθρον ἐμπέσῃ,
Καὶ πᾶς τις ἁλιεὺς δυσφερῆ πρὸς τὴν ζάλην,
Ὡς ἂρ ἀπὸ φελλοῦ τὰς ῥοὰς ἀνατρέχειν,
Καὶ πάντα δειπνεῖν τῆς νομῆς πεφρυγμένης.

Περὶ σπόγγου.

Κύημά τι, κράτιστε, τοῦ πελάγους ξένον,
Ὃ σπογγιὰν καλοῦσι παῖδες ναυτίλων.
Οὐκ ἄψυχον δ' οὖν, οὐδ' ἄμοιρον αἵματος,
Μανὸν δέ, καὶ ζῶν, καὶ πολύτρητον πέρας,
Ἐπηλυγασθὲν εἰς καλινδήθραν λίθου,
Πρὸς τὰς ἀγωγὰς καρτερεῖ τῶν ῥευμάτων·

Εἴ που

Εἴ που δὲ προσπέσῃ τι τῶν ἐδωδίμων,
Ζῶον τι λεπτὸν ἄλλο παρεὸν ὡς φύλαξ,
Ταύτην προωθεῖ τὴν δυσαίσθητον φύσιν·
Ἢ τὸ προσιὸν τόθ' ἡσυχῇ προσλαμβάνει·
Ἢ δὲ καθάπερ στόμασι πυκνοῖς τοῖς πόροις,
Δειπνεῖ γε, βασιλεῦ, τὴν βορὰν παραυτίκα.
Ὅταν δέ τις ποτ' ἄνθρωπος ἐκτέμνειν θέλοι,
Τὸ ζῶν τὸ νεκρὸν τοῦ Ποσειδῶνος τέκος,
Οἶδεν πρὸ θυρῶν συμφορὰς ἀποκρύφους.
Τὸ μὲν γὰρ εὐθὺς τῇ βολῇ συνεστράφη,
Καὶ τοὺς πόρους ἔσφιγξε, καὶ κατεστάλη,
Τῇ τῆς τελευτῆς τετριγὸς πεισθεῖσα.
Ἀλγεῖ δὲ πικρῶς ὁ σφαγεὺς τὴν καρδίαν,
Ἕως τὸ λυπηρὸν τῆς λαβῆς ἀποσπάσῃ.

Περὶ δράκοντος.

Ἰχθὺς μὲν ὑγρὸς τῆς θαλάσσης ὁ δράκων,
Τὴν δ' οὖν κεφαλήν τε, τὰς φολίδας τε, τὰς γένυς,
Καὶ τὰς διαυγεῖς ἀστραπὰς τῶν ὀμμάτων,
Ἐκεῖνος αὐτὸς ἐστὶ τῆς γῆς ὁ δράκων.
Οὗ καὶ τὸ κέντρον ἡ φύσις τῷ φαρμάκῳ
Ἀπρόσπελαστον ἔδειξεν ἰχθυοκτόνοις.

Περὶ φυσάλου.

Εἰς τὴν ἐρυθρὰν ἐστὶν ἰχθὺς οὐ μέγας,
Ἐγχωρίοις φύσαλος ὠνομασμένος,
Ἀνείδεος μὲν τῆς κεφαλῆς γε τὴν πλάσιν,
Ἔχων δέ τινα δὴ κόλπον εἰς τὴν γαστέρα,
Σμάραγδον ἂν εἴποι τις αὐτοῦ τὴν χρόαν,
Ὡς ἀπὸ πυγμῆς ἀδρανοῦς τεθλασμένου.

Ἐντεῦθεν

Quod si esculenta rimulis forte incidant,
Animalculum quod his subest, custos velut,
Languentem in illa sensuum vim suscitat,
Vt per pororum quos habet foramina
Conferta passim, ceu per os sumat cibos;
Quibus fruens, ô Imperator, vescitur.
Petris eandem si pares auellere,
Propago Neptuni illa viuens mortua,
Occulta sentit imminere pericula.
Nam protinus se contrahens inuoluitur,
Constringit arctis & poros complexibus,
Quod imminet timore leti percita.
Multumque piscator laboris deuorat,
Donec reuellens implicatam liberet.

lxxiii. De Dracone.

Maris Draconem quem vocant, est humidus.
Squamas, caput, malas, & oculorum faces
Pellucidas huic oppido simillimus
Est ille, terræ qui incolit specus Draco.
Natura cuius spiculum haud innoxium
Fecit veneno, piscium occisoribus.

lxxiv. De Physalo.

Est piscis haud magnus rubro sub æquore,
Quem Physalum indigenæ vocant cognomine.
Haud capitis est in eo figuram cernere,
Quendam sed imo ventre sustinet sinum:
Quem quis videns, smaragdum forte duxerit.
Adeo ille non impressus alte visitur,

Sed

Sed oris est tamen atque luminum loco.
Se deuorantis ille rumpit viscera.
Si quis prehensum forte contrectauerit,
Inflatur humida intumescens phlegmone,
Quali tumore carneum monstrum solet
Inflari, aquas extra ad solum si ieceris.
Namque vuidos proiectus in campos maris,
Vita recepta mox aquis supernatat,
Ceu bulla, vel vesica, vel rarus globus.
Est & apud Indos piscis, haud longus, niger;
Viuus profundo delitet qui gurgite,
Ad vsque mortem: namque solum mortuus
Emergit enatans, velut pinus leuis.
Quem si quis vndis extrahat, nece illico
Procumbit ipse. quid venenis est opus?

lxxv. De Crocodilo & Trochilo aue.

Crocodilus vndas dum secat, scite natans,
Hiante vasta gutturis voragine,
Turbam cruentam colligit hirudinum.
Ad litus ergo prodiens e flumine,
Proiectus istic solis aspicit iubar,
Hiansque contra pandit ignes luminis,
Sinus genarum, o Imperator, concauos:
Cum parua quædam auis, Trochilus nomine,
Rostrum inserens illius in fauces probe,
Hinc sanguisugas strangulantes extrahit.
Feraque gratum sentiente hinc commodum,
Indemne præmii caput loco refert,

Ἐντεῦθεν ἀθρεῖ, καὶ πλατύνει τὸ στόμα.
Φαγὼν μὲν οὖν τις τοῦτον, εὐθὺς ἐρράγη·
Λαβὼν δὲ χειρὶ, καὶ παραψαύσας μόνον,
Τὸν ὄγκον ὑγρᾶς φλεγμονῆς ἐξετράπη,
Καθάπερ αἰνοιδεῖ καὶ τὸ σαρκῶδες πέρας,
Ῥιφὲν κατὰ γῆς οὐκ ἐχούσης ἰκμάδα·
Πλὴν τοῦτ᾽ ἀπολυθὲν εἰς τὸ ῥεῖθρον, αὐτίναξ,
Αὖθις τ᾽ ἀναζῇ, καὶ περιέρχεται πλέον,
Ὡς πομφόλυξ, ἢ κύστις, ἢ σφαῖρα ξένη.
Ἐστὶν παρ᾽ Ἰνδοῖς καὶ βραχὺς ἰχθὺς μέλας,
Ὃς κρύπτεται ζῶν, εἰς τὸ τῶν ῥείθρων βάθος,
Ἕως τελευτῆς. τηνικαῦτα γὰρ μόνον,
Ὁ νεκρὸς ἀνέπλευσεν καθὼς κούφη πίτυς.
Ὁ γοῦν τὸν ἰχθὺν τῆς ῥοῆς ἐξαρπάσας,
Παραυτίκ᾽ ἀποτέθνηκε. τί δεῖ φαρμάκων;

Περὶ κροκοδείλου καὶ τροχίλου ὄρνιθος.

Ὁ δὲ κροκόδειλος νήχεται μὲν εὐτόνως,
Ἀνεὶς δὲ χανδὸν εἰς τὸ κῦμα τὸ στόμα,
Βδελλῶν φορητὸν ἐξ ἐκείνου συλλέγει.
Διαβὰς δ᾽ ἐκεῖθεν εἰς τὴν ὄχθην ἐκ πόρου,
Πίπτει δὲ κατὰ γῆς καὶ βλέπει τὸν ἥλιον,
Ηδε παραγυμνοῖ πρὸς τὸ φῶς καὶ τὴν ζέσιν
Τοὺς τῶν γνάθων, κράτιστε, κολπώδεις τόπους.
Ὄρνις δέ τις τροχίλος ὠνομασμένος,
Τὸ ῥάμφος αὐτῆς εὐφυῶς ἐπεισφέρων,
Τὰς αἱμοπότιδας καὶ θλιβούσας ἐξάγει,
Τούτου πράως ἔχοντος εἰς τὸ συμφέρον·
Καὶ τὴν γε κεφαλὴν αὐτὴ μισθοῦ λαμβάνει,

Μηδὲν κακὸν παθοῦσαν ἐκ τοῦ θηρίου.

Περὶ Ἰχνεύμονος.

Ἰχνεύμονος δὲ προσβαλεῖν ἠπειγμένου,
Βοᾷ τι λαμπρὸν ὁ τρόχιλος ἐνθάδε,
Ἡ δὲ διανιστᾷ τὸν βραδὺν πρὸς τὴν μάχην,
Παίων κατ᾽ αὐτῆς τῆς ῥινὸς, καὶ θαῤῥυνῶν,
Καὶ μηδὲ μικρὸν ἠρεμεῖν ἐπιτρέπων.
Ὁ δὲ πρὸς ὀργὴν ὡς τὸ πῦρ ἐπιζέων,
Αἱρεῖ τὸν ἐχθρὸν εὐχερῶς, καὶ συμπνίγει.
Ὅπλον γε μὴν ἕτοιμον ἰχνεύμων φέρων,
Χωρεῖ κατ᾽ αὐτῆς εὐγνῶς τῆς ἀσπίδος.
Πηλῷ γὰρ ὑγρῷ τὴν δορὰν καταχρίσας,
Τὸ δῆγμα θαῤῥεῖ καὶ κρατεῖ προσερπύζας.
Ὕδωρ δὲ τῷ στόματι τε πολλάκις φέρων
Κροκόδειλος ἔντος ποτάμιος ὃν Νεῖλος τρέφει,
Ἐγχεῖ μεταξὺ λανθανόντως τῶν τρίβων,
Ὀλισθαίνωσ᾽ ἂν ὡς τὰ κτήνη· ὁ δὲ τρέχει,
Καὶ ταῦτα δειπνεῖ συμπατῶν τῷ βορβόρῳ.
Καὶ τοὺς ὕδωρ ἥκοντας ἀρύειν θέρους,
Τέχνῃ τε φυσικῆς ἐλλοχᾷ πανουργίας.
Εἰς φρυγανώδη γὰρ καλύπτεται σκέπην,
Καὶ λανθάνων πρόσεισι, καὶ διαβλέπει,
Ἡ δὲ κατὰ μικρὸν γειτνιῶν συλλαμβάνει.
Πειρῶμεν εἰ οὖν ὁ σπορεὺς τῶν φιλτάτων,
Τοὺς ἄρπαγας μὲν, καὶ θρασεῖς, καὶ δυσμάχους,
Εὐθύς γ᾽ ἀπ᾽ ἀρχῆς εὐφυεῖς δήπου κρίνει·
Τοὺς δὲ πρὸς ὁρμὰς δραστικὰς νωθεστέρους,
Ὡς μή γε φυσικοὺς, ἀλλ᾽ ὑπόπτους ἐκτρίβει.

Οὗτος

A bellua nil regulus passus mali.

LXXVI. De Ichneumone.

Impressionem moliente Ichneumone
Aduersus hostem, regulus sonos ciet,
Somnoque crocodilum ad ineundum prœlium
Exuscitans, irritat ictu narium
Crebro, quiete nec finit segnem frui.
At ille sæuis æstuans præcordiis,
Hostem expedite tollit, atque strangulat.
Instructus armis Indicus mus, aspidem
Inuadit, vltro conferens illi pedem.
Namque humido se proluens prius luto,
Audacter ictus spernit hostis irritos.
Que [illegible] Nilus vndis educat septemfluus
Crocod[illegible]s, oris haustu aquas inserciens,
Profundit eius semitas aspergine,
Vt incidens subuertat his lapsans pecus.
Quod ipse protritum luto, accurrens vorat.
Quin & sub æstum haurire qui parant aquam,
Irretit artis callida solertia.
Nam frondium sub tegmine hic reconditus,
Clam proripit se, prospicitque conuenas;
Quos appropinquans comprehendit mordicus.
Facto periclo procreator seminis,
Quotquot rapaces, impigros, & strenuos,
Ignobili non iudicat satu editos:
Quos contra inertes arguit socordia,
Discerpit vt suspectum & alienum genus.

Solusque brutorum, gena quæ subtus est
Fixa, mouet subinde supremam, cibos
Cum deuoratos conficit molaribus.

lxxvii. De Merulis.

Amare turpem rumor est Merulas maris
Vitam, voluptatique prorsus deditam,
Ceu barbarorum amoribus turgens genus,
Et igne coniugum æmulo perurier,
Quas visitant, cum tempus instans parruum
Doloris, aluo pignora eniti iubet.
Namque haud in vndis deserunt structos toros,
Quos excauator litoris, scit erutis
Formare petræ callidus cauernulis.
Quin & cibum qui suppetat puerperæ
Nido incubanti, conuehunt venatibus:
Ne quis relictis appropinquans cunulis,
Aut occulens se terreat natos recens,
Aut dissipans permisceat cubilia.

lxxviii. De Boue.

Quid? quod mare educat bouem, magnum satis,
Cœni tenacis in luto qui gignitur,
Sed piscium nescit sequi prædas iners.
Piscantium idcirco struens turbæ dolos,
Dat sese in altum mole vasta corporis,
Instarque tecti se per vndas porrigens,
Quem prendit hospitem, recuruus deprimit.
Ille impedito strangulatur spiritu,
Suique pascit corporis cadauere

Hostem

Οὗτος γέ τοι, κράτιστε, τῶν ζώων μόνος,
Τὴν μὲν κάτω πήγνυσι, τὴν δ᾽ ἄνω γένυν
Κινεῖ θαμινά, τὴν τροφὴν θλῶν ταῖς μύλαις.

Περὶ κοσσύφων.

Τοὺς κοσσύφους δέ φασι τοὺς θαλαττίους,
Ποθεῖν τὸν αἰσχρὸν καὶ φιλήδονον βίον,
Καθάπερ ἀβροὺς τε καὶ σφριγῶντας βαρβάρους,
Καὶ ζηλοτυπεῖν, καὶ ζητεῖν τὰς συννόμους,
Ἀλόχων ἐπιστὰς ὅταν ὠδίνων χρόνος
Εἰς φῶς προσελθεῖν ἐκβιάζῃ τοὺς τόκους.
Τὰς γὰρ καθ᾽ ὑγρῶν οὐκ ἐῶσι πασιάδας,
Ἃς εἶδεν ἀκτῆς ἐγκοπεὺς διαγλυφήν,
Τοῖς ἐκλιναγμοῖς ἐνδιδούσης τοῦ λίθου.
Πλὴν καὶ παραθηρῶσιν ἐκ τῶν μετρίων
Τροφὰς νεαλεῖς ταῖς λεχοῖς ἀφ᾽ ἑστίας·
Μή τις γ᾽ ὑπεισελθὼν τὰς κενὰς διεξόδους,
Ἢ συσκιασθῇ, καὶ πτοήσῃ τὰ βρέφη,
Ἢ παρασύρῃ τε καὶ τὰ λέκτρα συγχέῃ.

Περὶ βοός.

Ἔχει δὲ καὶ θάλασσα βοῦν δή που μέγαν,
Ὃς τίκτεται μὲν εἰς ἰλὺν πεφυρμένην,
Ἰχθῦς δὲ θηρᾶν εἰς τροφὴν οὐκ ἰσχύων,
Τὸν γοῦν φονευτὴν ἐλλοχᾷ τῶν ἰχθύων.
Ἐνάλλεται γὰρ ταῖς ῥοαῖς ἀναβρέσαις,
Καὶ τὴν ἀδιάπνευστον κεῖθ᾽ ἐκτείνει στέγην
Κυρτῶν ἑαυτόν, καὶ κατείργων τὸν ξένον.
Ὃς ἄγχεται μὲν τῆς πνοῆς πεφραγμένης,
Ἐᾷ δὲ νεκρῶν ἐμφορεῖσθαι λειψάνων

Τὸν βοιοῦ τὸν ἐχθρὸν, τὸν μελάγχρου, τὸν φάγον.

Περὶ Σαργοῦ.

Ὁ σαργὸς ἰχθύς ἐστιν εἰς οἶστρον ζέων·
Διψῶν τε φωτὸς, καὶ σιτούμενος πόας,
Οἰκεῖ πρὸς ἀκτὰς παγγενὴς ἠθροισμένος,
Ὅπου διασφὰξ ὑγρολάξευτος λίθου,
Τῶν ἡλιακῶν ἐμφορεῖται λαμπάδων.
Φιλεῖ δὲ καὶ τὰς αἶγας ἀρρήτῳ σχέσει.
Καὶ γὰρ παραθεῖ γειτνιῶν ταῖς ἐννόμοις.

Περὶ πολύποδος.

Βορώτατον δὲ καὶ πανοῦργον τὴν φύσιν,
Καὶ θερμὸν εἰς κίνησιν ἀφροδισίων,
Τὸν πουλύποδα βλέπων ἀεὶ θαλάσσιον,
Αὐτοκράτορ, τέθηπα τῆς ἀπληστίας.
Ὅταν γὰρ ἡ θάλαττα δεινόν τι βρύχῃ,
Καὶ πνεῦμα πυκνὸν τὸν βυθὸν διατρέχον
Τὸ ῥεῖθρον ὑψοῖ, καὶ στροβεῖ, καὶ συγχέῃ,
Θήρας ἄγων ἄγευστον ἐνταῦθα χρόνον,
Αὐτοὺς ἑαυτοῦ τοὺς πλοκάμους περιεσθίει.
Τροφῆς δ' ὁ δὲ τυχὼν ὁ φθορεὺς ἀλλοτρίας,
Ὅταν τ' ἔχῃ τὸ ῥεῖθρον ἐναντίαν χύσιν,
Τότε δαπανηθὲν εἰς ἀνάπλασιν φύει.
Καὶ τὸν μὲν ἐχθρὸν, εὐχερῶς ἂν ἐκφύγοι,
Πρὸς ὄψιν αὐτοῦ γειτνιῶν τὸ λανθάνον.
Δεδραγμένος γὰρ τῆς προκειμένης ὕλης,
Ἤμειψεν ἥνπερ εἶχε μορφὴν ἡ φύσις,
Ὡς καὶ δοκεῖν ἐκεῖνο τὸ ξύλον τυχὸν,
Ἢ τὸν παρόντα λίθον ὀφθῆναι μόνον.

Προκεί-

Hostem voracem atro colore præditum.

lxxix. De Sargo.

Amoris œstro Sargus ardens æstuat,
Sitiensque lucem, herbæque pastu victitans,
Litus colit stipante multitudine:
Qua rupium diuisa aquis distantia,
Solis repletur permeante lampade.
Sed & capras infanda amat libidine,
Ad quas propinquans aduolat præ gaudio.

lxxx. De Polypode.

Cunctis edacem & callidum præ piscibus,
Acrique amoris æstuantem incendio,
Qui Nerei frequentat vndas, Polypum,
Monstrum videns stupesco non explebile.
Nam fluctibus cum feruet æquor concitum,
Ventusque vesanus profundum permeans
Attollit vndas, perque turbat flamine:
Conchyliorum haud tunc vacans venatibus,
Fame premente ipsus sibi cirros edit.
At pabuli facta voraci copia,
Cum strata subsidunt procellis æquora,
Reformat instaurans, quod absumsit fames.
Haud ille difficulter hostem effugerit,
Aspectui quod fallat incautum offerens.
Prehensus escam corripit dum pendulam,
Mutat colorem lege sub loci suum:
Vt ipse lignum referat, quod contigit;
Aut esse saxum, quo moratur subdolus.

Quin deminutis destitutus viribus,
Amoris œstro, ceu stupore percitus,
Iacet, moramque temporis post pauculi
Se præbet ipse deuorandum piscibus,
Quos visceri immergebat ante colligens.
Parit facillime, breuique plurimos,
Natatque vitam non agens durabilem.
Cum frigoris bacchatur inclementia,
Sudumque ridens eminus prospexerit,
Freto relicto, gentis & commercio,
Repens vt anguis exit in terræ solum.
Petraque tunc reperta in os prouolui-
tur,
Manens amica Cynthii sub lampade.
Gaudetque quamuis arborem conscen-
dere;
Quod se tenenti fructibus facillimum est.
Idemque rutæ sternitur contactibus,
Iacetque motionis expers illico.

lxxxi. De Lupo.

Hiante fusus ore per lacum lupus
Capit squillas, nil moratus aculeos.
Gula sed istis intumescente ictibus
Extinctus, ingluuiæ luit pœnas nece.

lxxxii. De Muræna.

In rete cum piscator artibus doli
Murænulam forte egit, o rex Auso-
num,
Pertuso aquam se haurire nescit dolio.
Elapsa namque per foramen paruu-
lum,
Secum cohortem liberat sodalium.

At ille

Προκείμενον δ' οὖν τῷ παρεῖσθαι τὸν τόνον,
Ἐκ τῆς περὶ τὸν οἶστρον κτείνετ' ἀποπληξίας,
Ἐκ τοῦτ' ἔπειτα, καὶ βραχὺς τρίβῃ χρόνος,
Προθεὶς ἑαυτὸν, ἐσθίει τὸν καρκίνον,
Οὓς ἤσθιε πρὶν ἐλλοχῶν καὶ συλλέγων.
Τίκτει δὲ ῥᾷστα, καὶ βραχεῖ πλεῖστα χρόνῳ,
Καὶ νήχεται ζῶν δι' ἀριθμητὸν βίον.
Ὅτε ἦ δὲ χειμὼν, ψύχεός τε δριμύτης,
Καὶ μειδιῶσαν οὗτος αἰθρίαν ἴδοι,
Ἀφεὶς τὸ ῥεῖθρον, καὶ τὸ σύννομον γένος,
Ἔξεισιν εἰς τὴν χέρσον ἕρπων ὡς ὄφις.
Καὶ πέτραν εὑρὼν, καὶ ταθεὶς ἐπὶ στόμα,
Ταῖς ἡλίου τότ' ἐγχρονίζει λαμπάσι.
Δένδρου τε παντὸς ἂν ἐπιβαίνειν θέλῃ,
Καὶ τοῦτο τούτῳ ῥᾷστον εἰς ἕρμα τρύγης.
Ἁψάμενον αὖ δὲ πηγαίου τὸ θηρίον,
Κινήσεως ἔρημον εὐθὺς εὑρέθη.

Περὶ λάβρακος.

Λάβραξ δὲ χανδὸν ἐκπετάσας τὸ στόμα,
Καρίδας αἱρεῖ, πρὸς τὰ κέντρα μὴ βλέπων.
Τούτοις δὲ τοῦ φάρυγγος ἐξωδηκότος,
Θνήσκει τροφῆς ὄλεθρον ὀξὺν ἁρπάσας.

Περὶ μυραίνης.

Ὅταν ἁλιεύς δέ τ' ἐκτινάξας τὸν δόλον,
Ὑποσπάσῃ μύραιναν, Αὐσονοκράτορ,
Εἰς πίθον ἔγ' ἀντλῶν ἀγνοεῖ κεκλασμένον.
Ἡ μὲν γὰρ ἐνθένδ' εὐθὺς ἀπὸ μετρίου πόρου,
Διεξέδυ σώζουσα καὶ τὰς συννόμους·

Ὁ δὲ

Ὁ γὰρ βλέπων ἔστηκε τὸν βρόχον μάτην.

Περὶ σηπίας.

Πανοῦργος ἐστὶ τὴν φύσιν ἡ σηπία,
Τῶν ἁλιέων κλέπτουσα τὴν κακουργίαν.
Εἰς ῥεῖθρα γάρ τ' ἐμεῖ μέλαν ὑπόσφαγμά τι,
Καὶ λαμβάνει τὴν ὄψιν ἐνδῦσα γνόφον,
Καὶ περιπετῆ θηρῶσα τὴν σωτηρίαν.
Ἀλλὰ σκόπει μὴ ζῶσαν εἰς χεῖρας λάβοις.
Ἄλλος γὰρ ἂν φθάνοι τις, ἐκ πείρας βλέπων
Ὀδόντος ὀξεῖς εἰς ἀπόκρυφον στόμα,
Καὶ δῆγμα πικρὸν ἐξ ἰοῦ τεθηγμένον.

Περὶ τρυγόνων.

Ἰοῦ γὰρ μεστὰ καὶ φθορᾶς ὀξυδρόμου
Τῶν τρυγόνων τὰ κέντρα τῶν θαλαττίων·
Οἷς καὶ τεθηλὸς ἐὰν ἀμυχθῇ δενδρίον,
Μαραίνεται, ζῆν οὐκέτι δύναμιν ἔχον.

Περὶ ἀλώπεκος.

Τὴν κερδαλῆν δέ φασι τὴν θαλαττίαν,
Τοῖς ἐγκάτοις ἄγκιστρον εἰσδεδεγμένην
Σοφῶς ἑαυτὴν τῶν ἄπ' ἐξ ἔνδον στρέφειν,
Ὡς ἱματισμὸν σηρικῶν ὑφασμάτων·
Ὡς ἂν ὁ χαλκὸς ἐμπαγεὶς διεκπέσῃ.

Περὶ ἰουλίδων καὶ λαγωοῦ.

Φύει μὲν ἡ θάλασσα τὰς ἰουλίδας,
Ἔστιν δὲ φαυλότατον τὸ δ' ἰχθύων γένος,
Καὶ τοὺς ἐν ἀκταῖς μᾶλλον οἰκοῦσιν λίθους.
Δειναὶ γὰρ λυπεῖν τοὺς ἐν ὑδροθηρίαις,
Ὅταν κατ' αὐτῶν εἰσρυῶσιν ἀθρόαι.

Γεγεύ-

At ille frustra ſtans ſagenas aſpicit.

lxxxiii. De Sepia.

Eſt verſipellis Sepiæ & vafra indoles,
Piſcantium qua callide eludit dolos.
Atrum cruorem nam vomens, pontum inficit,
Caliginemque induta viſus eripit,
Partaque ſic ouat ſalutis copia.
Sed tu caue viuam in manus vt ſumſeris,
Quin potius alius te prior, probauerit
In ore acumen dentium recondito,
Peſtemque morſus tabidam venefici.

lxxxiiii. De Paſtinacis.

Madent veneni peſtilentis vulnere,
Quę Paſtinacis ſunt marinis ſpicula.
Queis ſauciata germinans arbuſcula
Marceſcit, arefacta ſiccis frondibus.

lxxxv. De Vulpe.

Vulpeculam fert fama alumnam Nerei,
Hami receptis viſcera intra nexibus,
Inuertere vomitione ſeſe callida,
Ceu veſtis inuerti ſolet holoſerica,
Nimirum vt æris vncus infixi excidat.

lxxxvi. De Iulidibus & Lepore.

Fert Amphitrite Iulidas ſub ęquore,
Genus natantum, quod venenis affluit,
Amatque ſcrupos & latebras litorum,
Damnum inferens graue, in mari piſcantibus,
Denſo prementes imperunt quos agmine.

At piſcium quemcunque deguſtauerint,
Inſuauis vt ſit eſui, cauſam ferunt
Oris veneno, quo refertæ ipſum imbuunt.
Quod ſi quis hunc ignarus aluo inferciat,
Affert dolorum ſæua ventri tormina,
Ceu qui marinum neſcius leporem vorat.
Terreſtris ille non refert imaginem,
Haud cochleæ diſpar carenti tegmine.

lxxxvii. De Perſeo.

Quem Perſea vocant, is ſimilis eſt Anthiis,
Vel rectius lupos refert imagine.
Cuius caput ad aluum vſque rubram, cingulis
Eſt aureis videre diſtinctum palam.
Satum Diona iudicant hunc fabulę:
Narantiumque quodlibet vincit genus
Mucrone dentium, ſimulque audacia.

lxxxviii. De Pinna.

Genus oſtreorum eſt Pinna, quæ plicis domum
Hiantibus recludit, in qua conditur,
Per aquaſque fuſa porrigit carunculam,
Quæ corpus ambit molle, caſſum lumine.
Quo Męna ſi decepta credula aduolet,
Conuictor eius atque cuſtos pinnoter,
Illam admonet morſu leui carunculæ.
Hæc monita pandit amplius ſinum, irruens
Hoc implicatur Mæna non ſat prouida.
Pinnæ quod humidum effluit de viſcere,
Qui fulgur æquet, fit lapillus lucidus;

Sed

Γεγευμένη δέ τινος αἰσθ' ἰχθύος μόνον,
Ἄβρωτον ἀπέφηνεν τότ' αὐτὸν εὐθέως.
Ἰοῦ γὰρ αὐτῆς πλῆρες ἐστὶν τὸ στόμα,
Κἂν τις τὸν ἰχθὺν ἀγνοῶν ἐπεσθίοι,
Στροφαῖς ὀδυνῶν ἐσπᾶ τὴν γαστέρα,
Ὡς καὶ λαγωὸν εἰ θαλάττιον φάγοι.
Πρὸς γὰρ τὸν ἐκ γῆς ὑπεναντίως ἔχει,
Καὶ γυμνὸς οὗτός ἐστι μικροῦ κοχλίας.

Περὶ Περσέως.

Ἰχθὺς ὁ περσεὺς ἐμφερὴς τοῖς ἀνθίαις,
Μᾶλλον δὲ τοῖς λάβραξι τοῖς βορωτάτοις.
Ὃς ἐκ κεφαλῆς εἰς ἐρυθρὰν γαστέρα
Ζώναισι χρυσαῖς ἄντικρυς ἀγλαϊσμένος,
Υἱός τε μυθικῶς Ἀφροδίτης ἐκρίθη.
Πλωτῶν δὲ θηρῶν δυσμενῶν καλιχύει,
Ὀδοῦσι μακροῖς καὶ τομοῖς πεφραγμένος.

Περὶ πίννης.

Τῶν ὀστρέων ἕν ἐστιν ἡ πίννη γένος,
Ἡ τὰς φορητὰς παρανεῳγμένη πτύχας
Κεῖται καθ' ὑγρῶν, καὶ περιβάλλει σαρκίον,
Ἐκ τῶν ἑαυτῆς μαλθακῶν ἐντοσθίων.
Ὅταν δὲ μαινὶς πρὸς ἀπατηθεῖσα δράμοι,
Καρκῖνος ἄρ' αὐτῇ συμβιῶν προσεγγίσας,
Νύττει μετ' αἰδοῦς ταῖς λαβαῖς τὸ σαρκίον.
Ἡ δὲ πλέον κέχηνεν, ἡ δὲ προσνέει,
Καὶ τοῖς λαθοῦσι διπτύχοις ἁλίσκεται.
Ὑγρὸν ῥυὲν στομάχου δὲ τῆς πίννης ἄπο,
Εἰς ἀστραπῆς ἔλλαμψιν εὑρέθη λίθος.

Κινούμενος δὲ τῇ καθερχθείσῃ ζέσει,
Εἰς μαρμάρυξιν ὀργανοῦται μαργάρου.
Πίννη δὲ ποιεῖ καὶ τριχῶν βλάστην ξένην,
Ὡς ἐξ ἀραχνῶν συμφυῶν τῶν ἐγκάτων·
Ἧς ἡ φεραυγὴς καὶ χλιδῶσα λεπτότης,
Ξανθοῖσι πλοχμοῖς ἐνδεθεῖσα παρθένων,
Σπαργῶντας αὐτὰς μαστροπεύει νυμφίους.
Ἐξοστρακωθὲν εἰς παρακμὴν τὸ στέγος,
Ἐξοστρακίζειν οἶδε καρκίνου φύσις.
Οἰστρούμενος γὰρ κινησμοναῖς ἀποκρύφοις,
Ἐκεῖνος ὀργᾷ πανταχῆ τροφῆς χάριν.
Ὀγκούμενος δὲ πλησμονῇ τὴν γαστέρα,
Σοφῶς ἀποσπᾷ τῆς καλύπτρας τὰς δέσεις.
Τοῦ θρύμματος γοῦν ἐκπεσόντος αὐτίκα,
Νοσῶν ὁ γυμνὸς, ἀπαθὴς γὰρ εὑρέθη,
Μένει τροφῆς ἄγευστος εἰς πλεῖον χρόνον.
Πηγνύμενος αὖ δὲ τῇ δορᾷ τῇ προσφάτῳ,
Τροφὴν ἔχει τὴν ψάμμον ἣν εὗρε κλίνην.
Ὅταν καλῶς δέ τ᾽ ὀστρακωθῇ τὸ στέγος,
Εἰς πάντα χωρεῖ τὴν τροφὴν παρεκλέγων.

Περὶ μυός.

Θαλάττιος μῦς προσφυὲς φέρων δόρυ,
Καὶ δή τινας στόματος ἄπ᾽ ἀκμὰς ὡς βέλη,
Χωρεῖ πρὸς ἰχθῦς, Αὐσονάρχα, δυσμάχους·
Καὶ τοὺς σαγηνεύοντας αὐτὸν οὐ τρέμει,
Γοργῶς διασπῶν τὰς πλοκὰς τῶν δικτύων,
Καὶ μέμφεται μῦς τοὺς ἀνύδρους ἐν σκότει,
Οἳ ζῶσι πικρῶς, κἂν συλῶσι τὰς ψύχας·

Οὓς

Sed vnionis induit tandem iubar,
Vis promouentis si caloris appetat.
Quin & pilorum pinna germen byssinum
Fert, stamine haud araneorum discre-
pans.
Cuius nitor, subtilitasque, cirrulis
Addit puellarum venustatis decus,
Lenocinandis perquam idoneum procis.
Natura cancrum marcidam deponere
Testam, magistra docuit haud incallida.
Oestro ciente nam penitæ pruriginis,
Mouetur vndiquaque, victus gratia:
Ingurgitationeque aluum turgidus,
Disrumpit arcta tegminis ligamina.
Sic inuolucris ergo decidentibus,
Nudus laborans (quippe morbo ob-
noxius)
Os abstinet gustu cibi diutine.
Mox integer recente pelle, vescitur
Præsenti arena, qua iacens lecto vsus est.
Sed glutinato rite rursus tegmine,
Prorepit ipsum pabuli quo fert amor.

lxxxix. De Mure.

Gerens adnatam mus marinus lan-
ceam,
Et prodeuntium ore tela cuspidum,
Cum bellicosis miscet arma piscibus.
Nec persequentum nexiles horret pla-
gas,
Diffluta morsu lina soluens acriter.
Terræque mures qui cauernis delitent
Irridet, ægre mica quos surrepta alit;

Quos

Quos ſtridulus felis, tabell.s, funium
Nexusque tollunt, atque lardi portio.

xc. De Mugile.

Mugil ſereno blandiente ſidere,
Egreſſus in litus relinquit æquora,
Sub erutique dormiens ſpecu aggeris,
Cęlo ruente, mox aquas rurſus ſubit,
Campis futentis haud procellæ obnoxius,
Natale poſtquam ſe recepit in ſolum.

xci. De Apuis.

Eſt Apuis mater lutum, eſt lutum pater:
Petras cauatas incolunt quæ callide
Secum ferentis cuncta flaminis metu.
Nec pabulo quo nutriantur indigent,
Linctu refectæ mutuo conſortium.

xcii. De Mullo.

Natator eſt Mullus, gulæque prodigus,
Rebuſque gaudet admodum male olentibus,
Fruiturque laute ſordibus cadauerum.
Quod indicat nomen, quotannis ter parit.

xciii. De Echeneide.

Oculis tuenti vilis eſt piſcis, probe
Quem cognitum quis æſtimet validiſſimum:
Fœtus abortum nam coercet mortuus,
Ventiſque ſiſtit impetus ferentibus
Nauis citatos, huic inhęrens mordicus,
Nautaſque dextro gratulantes flamine,
Lugere verſas protinus cogit vices.

Οὓς καὶ γαλῆ τρίζουσα, καὶ πλὰξ, καὶ βρόχος,
Καὶ παγὶς ἐξέτριψε, καὶ βραχὺ στέαρ.

Περὶ κεστρέως.

Κεστρεὺς δὲ λαμπρᾶς μεστιώσης αἰθρίας,
Ἔξεισιν εἰς τὴν χέρσον, ἐκλιπὼν χύσιν.
Ἐπὶ χώματος δ' ἐφυπνώων τότ' εἰς βάθος,
Ἂν ἐκταραχθῇ, πρὸς τὸ ῥεῖθρον αὖ τρέχει.
Ἐλεύθερος ζῶν γηγενοῦς ὑποψίας,
Φυγάς γ' ἐπ' αὐτὴν εἰσρυεὶς τὴν πατρίδα.

Περὶ ἀφυῶν.

Μήτηρ ὁ πηλὸς, καὶ πατὴρ τοῖσιν ἀφύαις,
Αἳ νουνεχῶς οἰκοῦσι τοὺς κοίλους λίθους·
Δεδοίκασιν γὰρ τὰς φορὰς τῶν πνευμάτων.
Τούτων ἑκάστη καὶ τροφῆς πλέον ἐτράφη,
Τῆς συγγενοῦς τὸ σῶμα λιχμησαμένη.

Περὶ τρίγλης.

Τρίγλη δὲ νηκτόν ἐστι καὶ λίχνον φύσει·
Καὶ γὰρ φιληδεῖ τοῖς κακόσμοις ἐκτόπως,
Καὶ τοῖσι ῥυπαροῖς ἐντρυφᾷ θνησιδίοις.
Ἅπαξ δὲ, καὶ δὶς, ἀλλὰ καὶ τρὶς αὖ κύει.

Περὶ ναυκράτου.

Ἐστίν τις ἰχθὺς εὐτελὴς μὲν, εἰ βλέποις·
Εἰ δὲ κρίνοις, κράτιστος εἰ δὲ λαμβάνοις,
Νεκρὸς Γαληνὸς εἰς γονὰς ἀποστρόφους.
Τὸν μὲν γὰρ εὐάγωγον ἐξ αὔρας δρόμον,
Εἴργει προελθεῖν ἐνδακὼν τὴν ὁλκάδα·
Καὶ τοὺς τέως ᾄδοντας ἐκ θυμηδίας,
Στυγνόν τι πενθεῖν ἐκβιάζει ναυτίλους.

Κἂν μή τις αὐτόν γε καταδὺς θᾶττον τέμῃ,
Ὀδοστατηθὲν οὐ δραμεῖται τὸ σκάφος.
Τοῦτον τὸν ἰχθὺν, Αὐσονάρχα, Ναυκράτην
Οἱ ναυτικοὶ καλοῦσιν ἐκ τοῦ πράγματος.

Τέλος.

ΠΡΟΣ-

Quem ni quis vrinator ocius fecet,
Curſum carina ſuſtinens nil promouet.
Hunc, Imperator, Naucraten nautæ
vocant,
Naues tenenti ex re indito cognomine.

FINIS.

AVCTARIVM
IOACHIMI CAMERARII.

1. De Cicadis.

MVSIS amicus, arbiterque carminum
Süauium si non cicadam carmine
Dicat, probrorum fugerit qui crimina?
Cicadę amica iungitur cicada, amans
Cognationem stirpis atque sanguinis.
Simulque ramis insidentes arborum,
Concinna pangunt cantuum modulamina
Vibrante pinna, quæ modorum est organon,
Cietque discordem soni concordiam.
At feminis strident mares silentibus,
Cumque atua findit torrida sol lampade,
Suis & ipsi arbusta rumpunt questibus.
Sed tempore hiberno latenr reconditæ,
Terræ recessibus sub abditis cauæ:
Queis prodeuntes rursus, æstas cum redit,
Glomerantur ad consueta cantus munia.
Roris liquentis guttulas cibos habent,
Nec germinum fructus, nec herbarum exedunt.
Et quis adeo repertus est nefarius,
Auem vt Pieridum comprehensam manderet,
Tam paruulam, quæ præter est vocem nihil?

ΠΡΟΣΘΗΚΗ

ΙΩΑΧ. ΤΟΥ ΚΑΜΕΡΑΡΙΑΔΟΥ.

Περὶ Τεττίγων.

Τέττιγ' ἀμνημόνευτον ἦν Μούσαις φίλος,
Λιγυρῶν θ' ἑταῖρος ᾀσμάτων παρατρέχῃ.
Ὄνειδος οὗτος πῶς ἂν ἐκφύγοι κακόν;
Τέττιξ μὲν οὖν τέττιγι συναγελάζεται,
Ἀγαπῶν ξυνώνυμον ξυγγενῆ τε τῇ φύσει·
Δένδρεις ἐφιζόμενοι δὲ λειριόεν μέλος,
Κοινὴν θ' ἱέντες εὖ ξυναρμονοῦσ' ὄπα.
Ὑμὴν δὲ λεπτός ἐστιν ᾠδῆς ὄργανον,
Δι' ἧς ἐκείνη φθέγγεται συμφωνία.
Σιγᾷ θ' ὁ θῆλυς, πᾶς θρόος δ' ἐς ἀρρένων.
Καὶ τῷ μὲν ἡλίῳ φλέγοντι τὰς γύας,
Τότ' εὐστομοῦσ' ἐκεῖνοι ἠχηέστατα·
Χρόνῳ δὲ χειμῶνος καλύπτοντ' ἐν χθονὶ,
Κοιλωμάτων που τῆς δ' ἀπόκρυφ' ἐν φωλεοῖς·
Τῷ δ' ἀναδυόμενοι κεῖθ' ἀγείρονται θέρει
Εἰωθότ' αὖθι πρὸς νόμον τερετισμάτων.
Τροφὴν δ' ἔχουσι τὰς δρόσου ῥανίδας μόνον,
Βλάπτοντες ἔργους οὐδὲν ἢ πόης φυτόν.
Καὶ τίς ποθ' εὑρέθη τοσοῦτον ἀνόσιος,
Μουσῶν ὃς ὄρνιν συλλαβεῖν τε, καὶ φαγεῖν,
Ὧδ' ἐξίτηλον, ὄντα τ' οὐδὲν ἢ βοήν;

Ὅπερ ἀσεβὲς φῦλον ποιεῖ χελιδόνων.

Περὶ μυρμήκων.

Τίς τὰς δὲ μυρμήκων ἱκανὸς ἂρ ἐκφράσαι
Οἰκονομίας τε, καὶ παρασκευὰς βίου;
Τίς δ᾽ αὖ ὑπερβαίη γε τῆς φύσεως τόδε
Μικρὸν κάτοπτρον παμμεγίστων πραγμάτων;
Ἐν ᾧ γ᾽ ἁπάσης ἔμφασις ἀρετῆς ἔνι,
Φιλότητος, ἠδὲ τῶν πόνων κοινωνίας,
Φρονήσεώς τε, καὶ δικαιοσύνης ἅμα,
Σύν τ᾽ ἐγκρατείας ἐξόχῳ φιλεργίᾳ,
Καὶ δὴ συνέσεως, καὶ προνοίας, καὶ μένους,
Ὀσφραντικῆς τ᾽ ἐπὶ πᾶσιν εὐαισθησίας.
Σὺ δ᾽ ἀργὲ, καὶ φίλυπνε νωθείας ὕπο,
Παράδειγμα μόχθων χρησίμων τούτους ἔχε.

Περὶ μυιῶν.

Ἔχει δὲ μυίας θάρσος ἀφ᾽ Ὁμήρου κλέος.
Ἤδη αὖ ποθ᾽ ὑγροῖς ἐνθανοῦσα ῥεύμασιν,
Εἶθ᾽ ἡλίου προκειμένη ξηρᾷ φλογὶ
Ἀνά τε πάλιν ζῇ, κἀρτεμὴς ἀπέπτατο.

Περὶ ὀρνίθων ἀνθρωπολάλων.

Τοὺς ψιττακοὺς μὲν ὡς λάλους θαυμάζομεν,
Τέρπει δὲ μᾶλλον ἡδυχροίη τῶν πτερῶν·
Φωνὴ δὲ μηδὲν ἧττον ἐς εὐμήχανος,
Μιμηλὸς εὐπλάστου τόνος δὲ πνεύματος
Κοράκων τε, κιττῶν τ᾽, ἠδὲ ψαρῶν εὐμαθῶν.
Ὥστ᾽ οὐκ ἔτ᾽ Ἰνδῶν ὀρνιθολαλιᾶς χρέος,
Ἡμῶν ἐχόντων βροτολόγους ἐνδημίους.

Hirundinum genus quod audet impium.

II. *De Formicis.*

Quis est canendo, quam rei domesticæ
Curam gerat formica, vitæque vsuum?
Quis vero naturæ hæc silendo transeat,
Simulacra rerum maximarum paruula,
Virtutis in quibus omnis apparet nitor,
Dilectionis, & laboris mutui,
Prudentiæque, iuris & custodiæ,
Et continentiæ, nouæque industriæ,
Cum prouidentiæque vi, solertiæ,
Præque omnibus sensus odorum acerrimi?
At tu laboris hoc cape exemplum tibi,
Ignauia deses, veternoque obsite.

III. *De Muscis.*

Fidentiæ præconem Homerum musca habet.
Quæ si diem submersa fluctu clauserit,
Post solis exiccata quam flammis fuit,
Ad se redit, vitæque compos auolat.

IV. *De Auibus hominum loquelas imitantibus.*

Humanæ imaginem loquelæ in psittaco
Miramur, alarumque nos honor iuuat:
Sed non minus concinna vox est, flaminis
Canore blandum garrientis æmula,
Coruisque, picisque, atque sturnis docilibus.
Quid Indicarum ergo loquelis est opus,
Aues loquentes cum patria tellus ferat?

v. De Alcyone.

Pontum accolit cui nomen est auis Alcyon,
Nidamque figit nauis instar concauum,
Vndas super quem construit tutissimum,
Non temporis ratione, sed situ loci,
Modoque structuræ, & figurę tegmine.
Hac incubante ouis, sereni sunt dies,
Notium licet tunc occupet Sol limitem.
Æquor quietum puppe sulcat nauita,
Dum quattuordecim dies sæuit gelu.
Quin & mariti perquam amans est femina,
Amoris erga quem flagrat cupidine,
Senemque nutrit, & fouet ęuo marcidum:
Suisque subiens ipsamet gestat humeris
Iam tum exoletum, iam grauemque, & debilem,
Irrupta iungit quam marito copula.

vi. De Anthia.

Est piscis Anthiæ vocatus nomine,
Quem Chrysophryn alii vocant, alii Ellopa,
Quidamque Callichthyn putant, aut Pompilum.
Homerus hunc dixisse Sacrum creditur
Piscem, quod autumare certum interpretes:
Quamuis & hos quædam interest dissensio.
Securitatis sponsor hic est nauitis,
Quacunque vastum se per æquor obtulit.
Namque & feras abesse cunctas nunciat,
Nec imminere tunc periculum a mari.
Idemque genti fert opem domesticæ.

vii. De

Περὶ Ἀλκυόνος.

Ἡ δ᾽ Ἀλκυὼν ὄρνις μὲν ἐστί γε πάραλος,
Νεοττιὰν δ᾽ οἷον νεῖ αὐτοπηγημένην
Ἐφ᾽ ὕδασιν διέπλασ᾽ ἀσφαλέστατα,
Οὐ δὴ χρόνῳ, τὸ πῶ ἢ χώραις, καὶ τρόπῳ
Στερεᾶς πλοκῆς τε, κἀβυθίστου σχήματος.
Ὅτ᾽ ἤδ᾽ ἐπωάζει, γαλήν᾽ εἰσ᾽ ἤματα,
Ὅντος περ ἡλίοιο νοτίαις ἐν ῥοπαῖς,
Θάλαττ᾽ ἀκύμων τ᾽ εὐσταλῶς πλεῖται τότε,
Ἀκμῇ δὶς ἑπτ᾽ ἐν ἡμέρῃσι χειμάτος.
Φίλανδρος αὐτὴ καὶ φιλόστοργος πάνυ·
Θήλεια δ᾽ ἐστὶν ἄρρεν᾽ αἰὲν σύζυγος·
Γηροκομεῖ τε τόνδε καὶ γηροτροφεῖ,
Αὐτῆς φέρουσ᾽ ἐπωμαδὸν τὸν σύγγαμον,
Ἔξωρον ὄντ᾽ ἤδη, βαρύν τε κἀσθενῆ,
Πιστὴ ἀναποσπάστως συνοῦσα γυνὴ πόσει.

Περὶ Ἀνθίου.

Ἐστίν τις ἰχθὺς ὃν καλοῦσιν ἀνθίαν,
Χρύσοφρυν ἄλλοι, κἄτεροι τινες ἔλλοπα,
Ἕτεροι δὲ καλλίχθυν, τινὲς δὲ πομπίλον,
Ἰχθὺν δ᾽ Ὅμηρος αὐτὸν εἴρηχ᾽ ἱερόν,
Ὥσπερ λέγουσι τῶν ἀφηγητῶν τινές·
Διαφωνία γὰρ κἀνθάδ᾽ ἑρμηνειέων.
Ὀφθεὶς δ᾽ ἄρ᾽ οὗτος ἀνθίας ἀσυλίας
Ἐσ᾽ ἐγγυητὴς ἐν θαλάττῃ πανταχοῦ·
Δηλοῖ γὰρ οὐδὲν θηρίον παρεῖν᾽ ἐκεῖ,
Εἶναί τε κίνδυνον τότ᾽ οὐδέν᾽ ἐν ἁλί.
Ἀδεῶς βοηθεῖ τοῖς τε συμφύλοις ἀεί.

Περὶ

Περὶ βατράχων.

Βατράχων ἰδών τις ἐβδελύξατ᾽ ἀμορφίαν.
Αἰσχροὶ δέ γ᾽ οὕτως ὄντες εἰσὶν ἐρωτικοὶ
Εἰσὶ, γαμήλιά τε τιν᾽ ᾄδουσ᾽ ᾄσματα,
Ὀλολυγόν ἐκφωνοῦντες ἰὼ καλοῦσ᾽ ὄπα.
Ἐν νυκτὶ δ᾽ ἐκτὸς συμπλέκονθ᾽ ὑγρῶν τόπων.
Προεγνώκασ᾽ ἐπεὶ δ᾽ ὑετὸν ἠπειγμένον,
Φωνὴν τε λαμπρύνουσι καὶ συχνὸν κοάξ,
Τότε δὴ παφλάζουσ᾽ ὕδασ᾽ ἐν λιμνώδεσι·
Δοκεῖ τε σημεῖον βεβαιότατον τόδε
Ὄμβρων γενησομένων παραυτίκ᾽ ἀθρόων.

Περὶ σκιούρων.

Διὰ τί πιθήκους, κερκοπιθήκους, τοῖά τε
Ζῶ᾽ ἄλλα περιεργαζόμεθα νήπιοι;
Γεγονότες ἐνθάδ᾽ οὐρανῷ ὑπ᾽ ἐξωτικῷ,
Ἀφωρισμένοι ζώνῃ μακρὰν κεκαυμένῃ,
Ἐγχωρίων τ᾽ ἄρ εὐποροῦντες παιγνίων,
Τὸ τῶν σκιούρων σύμβιον ἔχοντες γένος,
Οἷς τὸ λάσιον ἐποίησεν οὐρᾶς τοὔνομα,
Γελωτοποιὸν, ἀλλικὸν, θωπευτικὸν,
Οὐρᾷ πτερωτὸν, μανικόν τε ζῴδιον,
Πρὸς τῶν ἀητῶν τὰς ὀπὰς κλείσειν πνοάς.

Περὶ ἐλεφάντων, καὶ λεόντων, καὶ δελφίνων.

Τίς δέ τ᾽ ἐλεφάντων ἱστορουμένην πέρι,
Μακρὰν διήγησιν ὀλίγοισι συντεμὼν
Δύναιτ᾽ ἂν ἐκθέσθαι στίχων γνωρίσμασι;
Τό τ᾽ εὐσεβὲς, τό τε συνετὸν, τό τ᾽ ἔννομον,

Πρὸς

VII. De Ranis.

Ranas videns, quis non abhorret inertiam?
Sed inuenustæ illæ quidem, morem tamen
Gerunt amori, nuptiali carmine,
Quam ololygona appellant, citantes feminas;
Quibus humida extra nocte miscentur loca.
At imminentes simul aquas præsagiunt,
Vocemque tollunt, & coaxant crebrius,
Tunc & tumultuantur in paludibus:
Atque imbrium hoc iam iam futurorum euidens
Signum putatur, comprobante id exitu.

VIII. De Sciuris.

Cur simios, hirtasque caudis simias,
Animantiaque id genus alia stulti exquirimus?
Nos qui sub axe degimus hic exotico,
Procul remoti torridæ a gyro plagæ,
Popularibusque non carentes lusibus,
Cum suppetat nobis sciurorum genus,
Ab hispida cui nomen est cauda inditum,
Risum ciens, tripudians, & blandiens,
Caudaque pennatum, & futurorum sagax,
Aduersus Euri obdens procellas ostia.

IX. De Elephantis, & Leonibus, & Delphinis.

Quis vero quæ prostant de Elephantis prodita,
Narratione copiosa, versuum
Exponere indiciis queat breuissimis?
Legumque cultum ac numinis, prudentiamque,
Animi-

Animique ſtudium erga magiſtros beneuoli?
Quis conſequatur eloquendo, plurimis
Quæ ſunt libris mandata de leonibus?
Atque hic quidem terreſtrium rex eſt, velut
Delphinus vndas incolentum fœtuum.
Sed regium hoc ambobus eſt, mortalium
Quod ſunt amantes, atque forti pectore,
Ad bene faciendum & promptiores, quam male:
Atque in ſuperbos cum truces ſe præbeant,
In ſupplices ſeſe gerunt clementius,
Parcuntque cum res fert, & in pugnam ruunt,
Quales dynaſtas eſſe non inconuenit.
Delphinas, vndis ne obruantur plurimos
Seruare narrant, applicatos litori.
Nec carne veſcitur hominis leo, niſi
Victu carentem adurgeat pænuria.
Atque his in Europa locatus terminus
Amnes duo ſunt: Neſtus vnus, qui labitur
Teias per Abderas, & alter Achelous,
Qui curſum agit per Acarnaniam fluens.
Hæc inter, illa fert leones, flumina,
Neque eorum alibi reperire genus eſt vſpiam,
A ſolis ortu cardinem vſque ad vltimum.
Quod Thurius narrans ſacrauit poſteris.

x. *De Equis & Canibus.*

Quiſquis ſciendi amore flagras, aſpice
Genuſque equorum, eumque eo ſtirpem canum:
Nam digna ſcitu ſuggerunt tibi vtraque,

Siue

Πρὸς δεσπότας τ' εὐνουστάτης σπουδῆς φρενός.
Τίς δ' ἐκφράσειεν ἂν ὅσα λεόντων αὖ πέρι
Εὑρίσκεται πλείστοις γεγραμμέν' ἐν βίβλοις;
Βασιλεὺς μὲν οὖν ὁ δ' ἐστὶ χερσαίων, καθὼς
Δελφὶς ἐνύδρων θρεμμάτων κέκλητ' ἄναξ.
Τὸ δὲ βασιλοπρεπὸν ἐστιν ἀμφοῖν, ὅτι τοι
Εἰσὶν φιλάνθρωποί τε, καὶ μεγαλόφρονες,
Ποιεῖν τε μᾶλλον εὖ πρόθυμ' ἢ δρᾶν κακῶς.
Τοῖς μὲν ὑπερηφάνοισιν ὄντε πολέμιοι,
Τοῖσι δὲ ταπεινωθεῖσιν ἐπιεικέστεροι.
Φείδονται θ' ὅπου τε χρὴ, μάχονται τ' ἐὰν δέῃ,
Οἷς καθήκει τοὺς δυνάστας τυγχάνειν.
Δελφῖνας οὖν φάσ' ἐν ἁλί ποτ' ἀπολυμένους
Σῶσαι τινὰς, χέρσονδε προσκεκομισμένους.
Οὐδ' ἂν δὲ λέων γεύσαιτο σαρκὸς ἀνέρος,
Εἰ μή γε λιμώττων τροφῆς ἑτέρας σπανίζει.
Οὗρος δὲ τούτοις ἐστ' ἐν Εὐρώπῃ, δύο
Ποταμ', ὁ μὲν εἷς Νέστος, δι' Ἀβδήρων ῥέων,
Ἀχελῷος δ' ἕτερος αὖ δι' Ἀκαρνανίας.
Μεταξὺ γὰρ τούτοιν λέοντες ῥωμάτειν
Μένειν τε γίνονται κατ' Εὐρώπης χθόνα,
Καὶ μηδέποτε θ' ἴδοι τις τόδ' ἀλλαχοῦ γένος,
Οὔτ' οὖν πρὸς ἠῶ, οὔτ' ἰὼν πρὸς ἑσπέραν.
Ὡς ἱστόρησ' ὁ Θούριος λογογράφος.

Περὶ ἵππων καὶ κυνῶν.

Ὅρα φιλίστωρ ὅστις ἐστ' ἵππων γένος,
Καὶ συννόει μοι τοῖσδε φῦλα τῶν κυνῶν.
Ἄμφω γάρ εἰσιν ἄξιοι θεωρίας,

Εἴτ'

Εἴτ᾽ οὖν φυῆς τὸ χρηστὸν ἠδ᾽ ἐπαινετὸν,
Εἴτε διδαχῆς τὴν εὐμάθειαν εἰσίδῃς.
Τῶν δ᾽ οὐδὲν ἐστὶ ζῶον ἀνδρικώτερον,
Μᾶλλον τ᾽ ἄτρεστον ἄλλο, τούς τε δεσπότας
Καὶ τοὺς συνήθεις ἀσπασάμενον καὶ φιλοῦν,
Ὑπέρ τε τέκνων καὶ θανεῖν ἄτολμον ὄν.
Ἀλλ᾽ ἔστι φῦλα τῶνδέ γ᾽ ἀμφοῖν αἰόλα,
Διαφορότητι διαφέροντα τῶν τρόπων,
Ἐν οἷς ἐγεννήθη θ᾽ ἕκαστος ἔθνεσιν
Ἵππος, κύων τ᾽, ἐν οἷσιν ἐτράφη τ᾽ ἤθεσιν·
Ὧν νῦν ἄκαιρόν ἐστι μακρολογεῖν πέρι.
Ἵππων δ᾽ ἐνὶ πρώτοισι πρὸς συνουσίαν
Τό τ᾽ ἔννομον ἐπαινοῦσιν ἀγροαύτου φρενὸς,
Φυσικῶν τε θεσμῶν ἀκριβῶς φυλακτικόν.
Οὔθ᾽ υἱὸς ἄρα τῇ μητρὶ μίσγοιθ᾽ ἑκών·
Οὔθ᾽ υἱέος μήτηρ ἀχείλω αὖ φέροι.
Καὶ πρὸς τόδε ποθ᾽, ὥς φασ᾽, ὑπαχθείς τις δόλῳ,
Ἀγάμοι ἐπεὶ φανερὸν γένετο μύσος γάμου,
Αἰδοῖ τότ᾽ οἰστρηθέντε καὶ δυσθυμίῃ,
Νυμφεύμασ᾽ αἰνοῖς, ὥσπερ Οἰδίπους ποτὲ
Θηβῶν κατ᾽ ἄστυ, συνδυασθέντ᾽ ἀθλίως,
Ἀντ᾽ ἔδραμον ῥήξαντε δέσμ᾽ ἐπαύλια,
Ἔπλησαν οἰμωγῇ τε πᾶν πεδίον πέριξ·
Τέλος συναῤῥάξαντε δ᾽ ἀλλήλοιν ἅμα
Καὶ ταῖς πέτρῃσι τἀνόσια κάρηατα,
Οὕτως ἀπ᾽ ἄμφω δυσμόρῳ θάνον μόρῳ.
Ἵππος δέ τ᾽ εὐγενὴς (κακοὶ γὰρ καί τινες
Εἰσὶν, ἀγαθῶν οὔτοί γε πλείους πανταχοῦ)

Siue indolis notes bonæ præstantiam,
Siue & capacis ingeni solertiam.
Nec animal est illis magis vel strenuum
Vllum, vel imperterritum, suosque heros
Et familiares quod perinde diligat,
Pro liberisque non obire necem horreat.
Atqui genus non est vtrisque vnum ac idem,
Sed pro locorum hæc ambo differunt statu,
Et vt apud est gentes, equorum vel canum
Quisque satus, & quibus educatus moribus:
Quæ copiose persequi, abs re nunc foret.
In prole equorum prædicatur maxime,
Intaminata quod colunt mente Venerem,
Verenda naturæ verentes vincula.
Nec matri amores natus vltro iunxerit,
Nec filium mater volens admiserit.
Quin & dolo quidam subactus, vt ferunt,
Post nuptiarum quam scelus factum est palam,
Oestro pudoris ac doloris conciti
Vterque, qualis Oedipus Cadmeidis
Per mœnia vrbis, improbo ex connubio
Fugere per villam, solutis vinculis,
Et eiulatibus replerunt pascua:
Tandemque mutuo sibi, atque rupibus
Illisa frangentes nefanda tempora,
Clausere vitæ fine tetro terminum.
Equus generosus, (namque sunt & futiles,
Et est malorum vbique maior copia)

Escam

Escam ministrat qui sibi complectitur,
Ac gaudet accedentis aspectu, & sonos
Amat loquentis, seque tangi percupit.
In prœlio que ferre visus est equus
Opem misertus lapsum equitis grauem
sui.
Quod si quis est, quem fabulas priscas iuuat
Audire, in illis hic equum loquentem habet,
Aliumque rebus eiulantem tristibus,
Aliumque qui fluctus sit ingressus super,
Aliumque pennis qui polum con-
scenderit.
Hinnitibusque alium vetustas prodidit,
Sceptrum magistro comparasse regium.
Sed & fidelitatis erga heros canum
Exempla nobis suppetant cum plurima,
Hoc vnicum Ascræi sit instar omnium
Senis, peremti cuius atroci nece,
Suus homicidas prodidit palam canis.
Quin differendi præditum solertia
Canem ferunt, quod incidens in compita
Feram sequendo, examinatis singulis,
Insistit, illa qua præiuit, semitæ.
Sic colligens, Gressum nec hac, nec bellua
Istac tulit: peregit ergo illac iter;
Complexa sumptionibus ceu glutinat.
Verum hoc inane est: namque dux
vestigiis,
Vis est odora narium sagacium,
Argutiarum nil morans versutias.
Sed haud egentem, vita in hac tu du-
xeris,

Quem-

Αὐτοῦ φιλεῖ τε τὸν κομιστὴν, ἡδέως
Προσιόντ᾽ ἰδών τε, καὶ λαλοῦντος ἀκηκοὼς,
Καὶ ψηλαφήσαντ᾽ ἀσμένως δεδεγμένος.
Ὥφθη δέ θ᾽ ἵππος ἐν ὅπλοις που σύμμαχος,
Ἀπό τε συναλγήσαις πεσόνθ᾽ ἱππηλάτῃ.
Αἴων δὲ μύθων εἴτις δὴ παλαιφάτων
Χαίρει, λαλοῦντα θ᾽ ἵππον ἐν τούτοις ἔχει,
Καὶ δακρύοντ᾽ ἐν συμφοραῖς ἄλλον κακοῖς,
Ὕπερθε δ᾽ οἶδμ᾽ ἄλλον βεβηκότα πόντιον,
Ἄλλον δέ τ᾽ αὖ πτερωτὸν, ἠδ᾽ οὐρανοβάτην.
Χρεμέθοντα δ᾽ ἄλλον φησὶν ἱστορίη τινὶ
Ὅτι βασιλείας πρόξενός ποτ᾽ ἐγένετο.
Κυνικῆς δὲ πιστῆς εὐνόου θ᾽ ὁμιλίας,
Προσεπιτρεχόντων παντόθ᾽ ἄλλων μυρίων,
Ἡμῖν ἐν Ἀσκραίου τὸ δ᾽ ἐς ἀρκοῦν μόνον
Γέροντος ὑπόδειγμ᾽, οὗ σφαγέντος αὐηλεῶς
Οἰκεῖος αὐθέντας ἐμήνυσεν κύων.
Κύνα δέ τινες ποιοῦσι καὶ διαλεκτικὸν,
Ἐπεὶ διώκων θηρίον πολυσχιδεῖ
Ὁδῷ πελάσαν, συλλογισμῷ χρώμενος
Ἀτραπῷ προβαίνει τὴν ἐκεῖνο προῆρχετο.
Οὐ τήνδε γάρ φησ᾽, οὐδὲ τὴν δ᾽ ὡρμήσατο,
Τὴν δ᾽ ἄρα λοιπὴν, ὡς διαζευχθὲν πλέκων,
Τοῖς λήμμασί τε τὸ συμπέρασμα προσφέρων.
Ἀλλ᾽ ἐστὶν ὅδε φλύαρος. ἡ γὰρ ἴχνεσιν
Αἴσθησις ἡγεμὼν τότ᾽ αὐτὴ γίγνεται,
Χαίρειν λέγουσα ταῖς ἑλικτικαῖς στροφαῖς.
Ὃ δ᾽ ἐπὶ τῷδέ γ᾽ οὐκ ἄολβος ἐν βίῳ,

Ὧι θ' ἵππον αὖ τρέφειν γένοιτο σὺν κυσί,
Οἴκοι μένοντ' ἐλεύθερα, καὶ τοὺς πέλας
Εὐεργετοῦντ' ἐκ τῶν ἐνόντων ἀφθόνως.

Περὶ ἀλεκτορίδων.

Τίς δ' οἰκοσίτων οὐκ ἂν ἀγέλαις ὀρνίθων
Καὶ τέρπεται, καὶ χαίρει ὠφελούμενος;
Ὠοτοκίη τούτων γὰρ αὔξει τοὺς δόμους
Ὄψῳ προχείρῳ. τὸ δ' αὖ που μητέρος
Ἴδης τε τὴν σφετέρας γονὰς προὐδίνων πέρι,
Καὶ φροντίδ', ἀνδρίαν τε, καὶ τόλμην ὕπερ
Τῶνδ' ἀσπίσασαν, ἣν ποτ' ἐπίῃ τις φόβος,
Οὐδὲν τρεσάσης, οὐδὲ δεισάσης θανεῖν
Πρὸ τῶν ἑαυτῆς φιλτάτων γεννημάτων·
Φυσικὴν μὲν εὐφραίνοιο στοργὴν εἰσορῶν,
Τὸ ζῴδιον δ' αὖ θαυμάσειας εὐκάρδιον.
Τί δ' ἣν παράκλησιν νοῇς πρὸς τὴν τροφήν;
Τί δὲ πτερύγων ἄπλωσιν εἰς σκέπην; ἵνα
Γένοιτο θαλπωρὴ νεογνοῖς εὔθετος.
Ἅπαντα ταῦτ' εἶν' ἀξιοθέατ' οἴομαι,
Τῷ νοῦν ἔχοντι καὶ φρένας γένει βροτῶν.

Περὶ ψύλλης.

Τί δ' ἂν ὀνομάζων ψύλλαν ἤδη τις λέγοι,
Σκωλήκιον ἄρ, ἢ ζωΰφιον, ἢ θηρίον;
Ὃ ποιοῦν φαίημεν, τὸ δ' οὐκ ἔστ' ἄλλο πλὴν
Δέρμ' αἵματος πλῆρες, ὑπόπτου, ὀξύστομον,
Ἐν στρώμασιν λυπηρὸν ἀγρίῳ δάκει.
Λῆρον κατείποιμ' ἂν μάγων, εἰ δὴ θέμις,
Τί δρῶν τις ἂν δύναιτο κωλῦσαι τὸ μὴ

Quemcunque equo canique alendo videris,
Domique liberum exigentem æuum,suis
Et promerentem plurimos beneficiis.

XI. De Gallinis.

Quis non,domi quæ nutriuntur alitum
Greges amat,gaudetque lætus fructibus?
Nam partus ouorum larem cibo instruit
Cunctis parato. Matris at si attenderis
Curam suis pro fœtibus,cumque studio
Et fortitudinem, simulque audaciam
Hos protegendi,cum quis ingruit metus,
Nihil pauentis, nec feram horrentis necem
Carissimorum pro salute liberûm:
Amoris oblectaberis spectaculo,
Animantis & miraberis fidentiam.
Quid si,vt citet pullos ad escam, cogites,
Alasque pandat,tegmen his quæ præbeant,
Fomenta nuper editis idonea?
Quæ digna contemplatione sedula
Intelligentiæ reor mortalium.

XII. De Pulice.

Quid nominando quis vocarit pulicem,
Num vermiculum, animalculumne, vel feram?
Quodcunque dicamus,nihil quam pellis est
Cruore suffusa, atque suffulta pedibus,
Orisque acuti infesta morsiunculis.
Quod si licet,nugas magorum proferam,
Qua possit, edocens, quis artis machina,

Arcere pubem hanc quolibet diram loco.
Quod si cuculi quis audiens primum sonos,
Vestigium dextro quod occupat pede
Describat, ac deinde puluerem eximat,
Quocunque subrutum loco dispersit,
Illo creari pulices nullos fetunt.
Hoc est, verus quod rettulir prouerbium,
Nil accipe, atque id contineto ipsum probe.

XIII. *De Ceruis.*

Tu, cura venandi cui est, ceruos vide,
Genus alticrurum, perdecorum, aquas secans,
Oculisque magnis, cornibusque præditum,
Caudaque mutilum, celeripes, punctum notis,
Armisque spaciosum, valensque spiritu,
Facie egregium, precijque pelle non leuis,
Insigne maculis, atque longæuum, nitens,
Exilibus membris, fugax, & debile,
Imbelle, timidum, aduersus angues stre-
nuum:
Sed pharmacum huius inest salubre cor-
nibus,
Quod cor sua intestinaque medela iuuat,
Neque est quod anxie requirat quispiam
Cornu vnicornis plurimis incognitum,
Cum præstet eadem, pluraque his, quod
suppetit.
Sic læua mens est, & rudis mortalibus,
Fatuaque, carensque intelligentia, irrita
Vt persequatur spe petens absentia,
Proculque vestigans remota, raraque,
Popularium adeo copiam fastidiat.
Ceruum instituta singulare regibus

Sanxere

Ἀρχὴν γενέσθ' ἐν ᾧπερ οὖν ψύλλας τόπῳ·
Κοκκυσμὸν εἰ πρῶτον γ' ἀκούσαι κόκκυγος,
Ὅδε τότ' ἐπιστρὰς, δεξιοῦ τ' ἴχνος ποδὸς
Κεῖθι περιγράψας, εἶτα τὸν χοῦν ἐξέλῃ.
Ὅπου τεθῇ γάρ φασ' ὅδε κατωρυγμένος.
Ἐκεῖ φύεσθαι ψύλλαν οὐδεμίαν ποτέ.
Τοῦτ' ἐστὶ δ' οἷον ἡ παροιμία λέγει,
Λαβοῦ σὺ μὲν μηδὲν, κράτει δὲ τοδὶ καλῶς.

Περὶ ἐλάφων.

Ἐλάφων θεώρει νῦν σύ μοι, κυνηγέτα,
Ὑψηλόγυιον, ἀριπρεπὲς, ποταμηπόρον,
Μεγαλωπὸν, εὔκερων, μείουρον, ὠκύπουν,
Στικτόν τε, πλατυνώτόν τε, κ' εὔπνοον γένος,
Ὀψὲ δ' ἀγητὸν, τῇ τε τιμῆρες δορᾷ,
Βάλιον, μακρόβιον, λεπτόκωλον, ἀγλαὸν,
Ψυξηλὸν, ἀβληχρὸν, δύσαλκ', ἀκάρδιον,
Ὀφιοκτόνον δ' ὅμως ἐόντα καρτερόν.
Χρηστὸν δὲ τούτου φάρμακον κέρασιν ἔνι,
Πρὸς πάντα κραδίῃ τ' ἐντέροις τε σύμφορα.
Χ' ἡμῖν μάταιον πρὸς τάδ' ἦν ζητεῖν κέρας
Ἄγνωστον ἄλλο μονόκερω καλουμένου.
Ἢ ταὐτὰ γὰρ κεῖνο δύνατ', ἢ πλείω πολύ.
Ὧδε δ' ἀμαθὲς καὶ σκαιὸν ἐστὶν ἄρα βροτῶν
Μωρόν τε φῦλον, κἀνόητον, ὥστε δὴ
Τἀπόντα μαστεύειν ἀπρήκτοις ἐλπίσι,
Παπταίνον ἀλλότριά τε πόρρω, καὶ ξένα,
Ἀγαθῶν τ' ἀεὶ καταφρονῆσ' ἐπιχωρίων.
Τὸν δ' ἔλαφον οἱ ἐξαίρετον ζῶον πάνυ

Τοῖς τε βασιλεῦσι, καὶ δυνάσταις, οἱ νόμοι
Οἰκεῖον εἶναι κτῆνος ἀποπεφηνότες,
Τὴν τῶνδε θήρην δῆτ' ἀπεῖπον ἐντόνως
Ἅπασιν ἄλλοις, τοῖσι πολλοῖσιν δ' ὅλως·
Ἄγρην τε τήνδ' ὑφαρπάσ' ἤδη πώ τινες
Τολμῶντες ἔτισαν εἶτ' ἀνηλεῆ δίκην.

Περὶ χηνῶν καὶ ὑῶν.

Χῆνας δέ τις, τούτους σιτιστοὺς δὴ λέγω,
Τοὺς ὗς θ' ὁρῶν σιάλους, ἴσως οἰήσεται
Ἀλλ' οὐδὲν εἶναι τούσδε, πλὴν κρέας μόνον,
Ἔχον αὐθ' ἅλος ψυχῆς τι, πρὸς τὸ διαμένειν
Ἄφθαρτον, ἤδ' ἄσηπτον, εἶδαρ εὔτροφον·
Ἔνεσθ' ὅμως γε τοῖσδε νοῦ τι καὶ φρενός.
Βλάψῃ σύας γὰρ οὐδὲ συννόμους λύκος
Γρυσμῷ συναθροισθέντας, ἠδὲ συστάτας·
Τόσον πάρεστι θάρσος ὁμονοητικόν.
Καὶ δὴ τὸν ὗν, ζῷον ἐλέφας οὕτω μέγα
Ἤδ' ἄλκιμον, φοβεῖτ' ἀκηκοὼς μόνον
Γρυλλισμὸν ἐγγύθ' ὄντος, εἰ καὶ μὴ βλέποι.
Χηνῶν δέ τ' εἰσὶν οὐκ ἄλογα παππάσματα,
Ξυνετὰ δ' ἐκείνοις, σχημάτων δηλουμένων
Ξὺν τοῖσδε, τὴν γνώμην τε καὶ νοούμενον,
Ὥσπερ μετ' ἀλλήλων λαλούντων ἀκριβῶς,
Τῷ συγκαλεῖν, προάγειν τε, καὶ κατὰ στίχους
Ἰέν' ἀκολουθοῦντας νομὰς πρὸς γνωρίμους,
Φθέγγειν θ' ἅμ' ὡς ἄπ', εἰ δέῃ, σύνταγμα λόγου.

Περὶ μάχης δέρκτου καὶ συὸς ἀγρίου.

Ἀκήκοά ποτ' δέρκτου τε καὶ συὸς ἀγρίου

Συώδεν-

Sanxere iumentum, propriumque principum,
Nec subditis illos agendi in retia
Fecere ius, edictione strenua:
Ausosque tendere his plagas, atrocibus
Iussere pœnarum modis tolli in crucem.

XIV. *De Anseribus & Suibus.*

Forte anseres, hos altiles in quam, videns,
Porcosque distentos sagina, duxerit
Nil esse, carnem præter, illos quippiam,
Quæ pro sale animam acceperit, putredine
Ne colliquescat, ferculum pascens probe,
Sed mentis illis haud inest prorsus nihil.
Nam nec sues lupus aggredi compascuos
Ac congregatos audeat grunnitibus:
Concordiæ tantum potest consensio.
Quin & suem, tam grandis, elephas, bellua
Robustaque exhorrescit, hunc si audiuerit
Vel grunnientem cominus, nec viderit.
At anseres quæ gratitant, expertia
Haud sunt loquelæ, ipsique sese mutuo
Notis loquentes consonis intelligunt,
Ceu conferentes verba secum serio.
His conuocant sese, vt vel agmen porro agant,
Vel ordine ad consueta redeant pascua,
Ac tanquam in acie, cum est opus, fugam petant.

XV. *De pugna vrsi & suis siluestris.*

In saltibus condensa opacis arbore,

Certamen vrſo, ſicut audiui, fuit
Aduerſus aprum, patuit ita quod cognitum,
Euentaque huius,& exitus victoriæ.
Nam ſanguinis reperta ſunt venantibus
Et ſigna ferarum,per abdita nemorum
Incognita legentibus iter ſemita:
Dum dente ſtricto fulminat frendens aper,
Vrſuſque ſæuit brachiorum robore,
Atrocis in conflictibus certaminis.
Ac viſus eſt vrſus priore iacens loco,
Quod concidiſſe in prœlio victum arguit:
Aprique poſt hunc amplius progreſſi,erat
Proiectum humi cadauer intuerier.
Sunt in feris,volantibusque, & piſcibus,
Simulacra perturbationis obuia,
Nec non guloſitatis,& libidinis.
Nam ſicut illa pabulum captantia,
Eſcamque deuorantia obiectam,dolos
Haud deprehendunt ante quos abdit cibus:
Non ſecius qui frena laxant, perditi
Ac impotentes,cupiditatum motibus,
Capti voluptatum tenentur hamulis,
Ac implicati ſuauitatis funibus,
Vitam profundunt morte non præcognita.

FINIS.

Συνώδενδρον ὕλης βῆσσαν ἀν᾽ ἐρήμου μάχην.
Οὕτω δέ τ᾽ ἐγνωρίσθη αὕτη γ᾽ ἡ μάχη,
Κἀκ τῆσδε συμβάν, καὶ τὸ τῆς νίκης τέλος.
Τοῦ θ᾽ αἵματος γὰρ πανταχῇ καὶ τῶν τριχῶν,
Κατ᾽ ἴχνι᾽ οἱ κυνηγέθ᾽ εὗρον ἑπόμενοι,
Κατ᾽ ἀτραπιτοὺς ἀγνώτους ἐν ὕλῃ, πολὺ,
Τῇ τῶν ὀδόντων χρωμένου συὸς ἀστραπῇ,
Σπιθαρῶν δέ τ᾽ ἄρκτου τῇ βίῃ βραχιόνων,
Εν συμβολῇ τῆς ἰσχυρᾶς συρράξεως.
Ὤφθη πρότερον ἄρκτου δὲ πτῶμα κείμενον,
Τεκμήριον τοῦ θηρὸς ἥττονος κράτους,
Τοῦ δὴ συὸς προσωτέρω βεβηκότος,
Αὐτοῦ δ᾽ ὅμως ἐνταῦθα καὶ τεθνηκότος.
Εν θηρσὶ πᾶσι δ᾽, ὄρνισίν τε, κ᾽ ἰχθύσιν,
Εἰκών τις ἔστ᾽ ἐπιθυμίας, λίχνου πάθους.
Ὡς κεῖνα γὰρ τῷ δελέατ᾽ ἐγχασμώμενα,
Βόσιν τε καταπιόντα τὴν προκειμένην,
Οὐ κατενόησαν τὸν κεκρυμμένον δόλον·
Οὕτω τε δείλ᾽ ἁλίσκεται κἀπόλλυται·
Ἄνθρωποι ὁμοίως οἵ τ᾽ ἄσωτοι κἀκρατεῖς
Ενδόντες ὁρμαῖς τῶν ἰδίας ὀρέξεων,
Ἴσχοντ᾽ ἐν ἀγκίστροις ἁλόντες ἡδονῶν,
Καὶ τέρψεων ἀμφιβεβολημένοι βρόχοις,
Ληφθέντες ἐφθάρησαν ἀπροόπτῳ μόρῳ.

Τέλος.

ΠΙΝΑΞ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ.

35 περὶ

INDEX CAPITVM PHILE *de proprietatibus animalium.*

35 De

75 De

ΠΙΝΑΞ ΤΗΣ ΠΡΟΣΘΗΚΗΣ.

INDEX CAPITVM AVctarij Ioachimi Camerarij.

FINIS.

ambic.Car.&c.A